# ARISTOPHANIS PLUTUS

RECENSUIT

ADOLPHUS VON VELSEN.

БИБЛИОТЕКА
Л.Н.И.Я.
9894

104730

БИБЛИОТЕКА
Г. И. Р. Н.
8206

№ 3025

БИБЛИОТЕКА
Филологического ф-та
№ 104730

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXXI.

ПРОВЕРЕНО

LIPSIAE: TYPIS B. G. TEUBNERI.

GYMNASIIS NOBILISSIMIS:

# IOACHIMICO,

QUOD ALUMNO MIHI ALMAE MATRIS INSTAR ERAT,

# HANOVIENSI,

QUOD SIT MEAE SEDES UTINAM SENECTAE,

S.

# Praefatio.

Codices, quibus in Pluti fabula recensenda usus sum, hi sunt:

1) Ravennas (*R*), membranaceus, forma quadrata maiore, foliorum 191, saeculo XI exaratus. Ab initio folia nonnulla madore corrupta sunt. Fabulas Aristophanias, quae quidem aetatem tulerunt, continet integras et scholia scripta manu diversa. Haec manus, fere suppar aetate primae manui, multis locis correctricis munere functa est ($R^2$). Inest in codice etiam altera manus correctrix paullo recentior ($R^3$) et tertia XV fere saeculi ($R^4$).

2) Venetus (*V*), membranaceus, inter Marcianos 474, forma quadrata maiore, foliorum 172, saeculo XII scriptus. Fabulas continet septem, quarum index in primi folii pagina versa exstat: *ἀριστοφάνους πλοῦτος: νεφέλαι: βάτραχοι: ἱππεῖς: ὄρνιθες: εἰρήνη: σφῆκες:* Exaratus est manibus eiusdem aetatis duabus, quarum alteri folia 1—61^r (Ranarum v. 1008) debentur, alteri multo illi elegantiori folia 61^v—172. Scholia addita sunt a primis manibus, sed postea correctores perpessa: tres enim per poetae quoque verba manus correctrices vagatae sunt, frequentissimae illae in Avibus et Equitibus: nec rasurae desunt, in quibus antiqua manus a recentioribus discerni saepe vix potest.

3) Vaticanus (*U*), bombycinus, inter Urbinates 141, forma quadrata minore, saeculo XIIII exaratus, foliorum 191, quorum 112 continent Aristophanis Plutum, Nubes, Ranas, Aves. Praeterea insunt quinque tragoediae Sophoclis: Oedipus I et II, Electra, Antigone, Philoctetes. Singulae lineae binos et interdum ternos versus exaequant. Insunt scholia a prima manu et inter lineas picta et infra contextum ita, ut duas fere

gularum paginarum partes occupent. Ab alia manu pictae sunt notae personarum, quae multis locis ita exstinctae sunt, ut legi nequeant. Tertia manus in poetae verbis correctricis munere functa est ($U^2$).

4) Parisinus (*A*), membranaceus, inter Brunckii regios 2712, forma quadrata maiore, scriptus saeculo XIII, foliorum 320, quorum 215 usque ad finem codicis et 107—110 (quibus Pluti vv. 485—783 leguntur) continent Aristophanis Plutum, Nubes, Ranas, Equites, Aves, Acharnenses, Ecclesiazusarum partem priorem. Singulae lineae binos versus exaequant. Insunt scholia, rara illa ad Plutum et Ranas, paullo uberiora ad Nubes, nulla ad Equites, Acharnenses, Aves, Ecclesiazusas. In Aristophane duae discernuntur correctorum manus, qnarum altera minio et appinxit notas personarum et nonnullis locis correctricis munere functa est. Sed ipse dubius haesi, sitne haec manus, quae minio usa est, eadem atque illa, quae textum exaravit. Praeterea alia manus correctrix aperte recentior multis locis per poetae verba vagata est. Leguntur autem in hoc codice praeter illas Aristophanis fabulas Euripidis Hecuba, Orestes, Phoenissae, Andromache, Medea, Hippolytus, Sophoclis Aiax, Electra, Oedipus tyrannus, Antigone, Oedipus Coloneus, Trachiniae, Philoctetes. Quae ab alia manu scripta sunt atque ea, quae Aristophanis comoedias pinxit.

Scribebam Hanoviae cal. iun. a. MDCCCLXXXI.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ

# Π Λ Ο Υ Τ Ο Σ.

# ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΚΑΡΙΩΝ
ΧΡΕΜΥΛΟΣ
ΠΛΟΥΤΟΣ
ΧΟΡΟΣ ΑΓΡΟΙΚΩΝ
ΒΛΕΨΙΔΗΜΟΣ
ΠΕΝΙΑ
ΓΥΝΗ ΧΡΕΜΥΛΟΥ
ΔΙΚΑΙΟΣ ΑΝΗΡ
ΣΥΚΟΦΑΝΤΗΣ
ΓΡΑΥΣ
ΝΕΑΝΙΑΣ
ΕΡΜΗΣ
ΙΕΡΕΥΣ ΔΙΟΣ.

---

deest index personarum in *R* et *A*.

.:· πλοῦτος· καρίων οἰκέτης· χρεμύλος δεσπότης· πενία· χορὸς ἀγροίκων· βλεψίδημος· ἀνὴρ συκοφάντης· γυνὴ χρεμύλου· ἀνὴρ δίκαιος· ἱερεὺς διὸς· γραῦς ἡ φίλη τοῦ μείρακος· νεανίας· ἑρμῆς θεός: ∼ (ἑρμῆς et θεός [eodem versu picta] a $V^2$ adscripta sunt) *V* —

καρίων οἰκέτης. χρεμύλος δεσπότης. πλοῦτος. χορὸς ἀγροίκων. βλεψίδημος. πενία. γυνὴ χρεμύλου. ἀνὴρ δίκαιος. ἕτερος ἀνὴρ συκοφάντης. γραῦς ἡ φίλη τοῦ μειρακίου. νεανίας. ἑρμὴς θεὸς. ἱερεὺς διός. *U* —

# ΥΠΟΘΕΣΙΕΣ.

## I.

*Πρεσβύτης τις Χρεμύλος πένης ὢν τὴν οὐσίαν ἀφικνεῖται εἰς θεοῦ· ἐρωτᾷ δὲ τὸν θεὸν πῶς ἂν εἰς ἔκδηλον ἁβρόν τε μετασταίη βίον. τοιόνδε δὲ ἐγγεγύηται ὁ χρησμός. χρᾷ γὰρ αὐτῷ ὁ θεὸς ἐξιόντι τοῦ ναοῦ, τούτῳ ἕπεσθαι, ᾧ πρώτῳ συντύχῃ. καὶ δὴ τυφλῷ γέροντι συντυχὼν εἵπετο πληρῶν τὸν χρησμόν· ἦν δὲ Πλοῦτος οὗτος. ὕστερον δὲ προσδιαλεχθεὶς αὐτῷ εἰσάγει εἰς Ἀσκληπιοῦ, ἰασόμενος αὐτὸν τῆς πηρώσεως, καὶ οὕτω πλούσιος γίνεται. ἐφ' ᾧ δυσχεράνασα ἡ Πενία παραγίνεται λοιδορουμένη τοῖς τοῦτο κατορθώσασι· πρὸς ἣν καὶ διάλογος οὐκ ἀφυὴς γίνεται, συγκρινομένων τῶν φαύλων τῆς Πενίας καὶ τῶν τοῦ Πλούτου ἀγαθῶν ὑπὸ Βλεψιδήμου καὶ Χρεμύλου. πολλῶν τε ἄλλων ἐπεισρεόντων, ἐν τῷ ὀπισθοδόμῳ τῆς Ἀθηνᾶς ἀφιερώσαντο Πλούτου ἰνδάλματα. τὰ μὲν οὖν τῆς ὑποθέσεως ταῦτα. προλογίζει δὲ θεράπων, δυσχεραίνων πρὸς τὸν δεσπότην, ὅτι τυφλῷ καὶ γέροντι κατακολουθεῖν οὐκ ᾐσχύνετο.*

---

## II.

*Πρεσβύτης τις Χρεμύλος πένης ὢν καὶ ἔχων υἱόν, κατανοήσας ὡς οἱ φαῦλοι τὸ τηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ*

SCRIPTURAE DISCREPANTIA.

Nulla inest hypothesis in *R* et *A*, praeter secundam aliae desunt omnes in *U*. ‖

I. ὑπὸ (θ) τοῦ ἀρι(στοφά) πλούτ(ου) : — + + + *V* ‖

v. 1 τίς | χρεμῦλος· ‖ v. 2 ἐρωτᾶ | ἀβρόν ‖ v. 4 τούτω | πρώτω συντύχη· | v. 6 χρησμὸν· ‖ v. 8 ἐφ ᾧ | v. 10 οὐκ' ‖ v. 11 ὑπο ‖ v. 12 πολλῶν τε καὶ ἄλλων τῶ ὀπισθοδόμω ‖ v. 16 ᾐσχύνετο: — *V*

II. —: ἑτέρως τὸ προοίμιον τῆς ὑποθέσεως. — *V* ὑπόθεσις πλούτου: — *U* ‖

v. 17 *Πρεσβύτης τις Χρεμύλος πένης ὢν*] πρεσβύτης χρεμῦλος πένης ὢν *V* χρεμύλος τίς ὢν πρεσβύτης πένης· *U* | *υἱόν,*] υἱὸν· *V* υιὸν *U* ‖ v. 18 *φαῦλοι*] φαῦλοι τῶν ἀνθρώπων *U* ‖

ἀτυχοῦσιν, ἀφικνεῖται εἰς θεοῦ, χρησόμενος πότερον τὸν παῖδα σωφρόνως ἀναθρέψειε καὶ ὅμοιον ἑαυτῷ τοὺς τρόπους διδάξειεν (ἦν γὰρ οὗτος χρηστὸς), ἢ φαῦλον, ὡς τῶν φαύλων τότε εὐπραγούντων. ἐλθὼν οὖν εἰς τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο οὐδὲν ἤκουσεν, προστάττει δὲ αὐτῷ, ᾧ τινι πρῶτον ἐξιὼν συντύχῃ, ἀκολουθεῖν. καὶ τὰ λοιπὰ ὡσαύτως.

III.

Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ. τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, καὶ τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα δι' αὐτῆς τοῖς θεαταῖς βουλόμενος, τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.

IIII.

*ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.*

Μαντεύεται δίκαιος ὢν τις καὶ πένης
εἰ μεταβαλὼν πλούτου τυχεῖν δυνήσεται.
ἔχρησεν ὁ θεὸς συνακολουθεῖν ᾧπερ ἂν
ἀνέρι περιτύχῃ. Πλοῦτος ὀπτάνεται τυφλός.

SCRIPTURAE DISCREPANTIA.

v. 1 εἰς] ἐς *U* ‖ v. 2 ἀναθρέψειε] ἀναθρέψει· *V* | ἑαυτῷ] ἑαυαυτοῦ (sic) *U* | τοὺς τρόπους] τοῖς τρόποις *V* ‖ v. 3 οὗτος] αὐτὸς *U* | φαῦλον] φαῦλος *V* | εὐπραγούντων] εὐπραττόντων *U* ‖ v. 4 ἤρετο] ἤιρετο, *V* ‖ v. 5 ἤκουσεν,] ἤκουσε· *U* | αὐτῷ] αὐτὸν· *U* | ᾧ τινι] ὥτινι *V* | συντύχῃ,] συντύχῃ· *V* ‖ v. 6 ὡσαύτως] ὡς αὔτως: *V* ‖ verba ab ᾧ τινι (v. 5) usque ad ὡσαύτως (v. 6) desunt in *U*, in quo eorum loco haec leguntur: ἐν τῷ ἐξιέναι, ὃν ἂν καθέξει πρῶτον, κατασχεῖν. ὀπτάνεται γοῦν αὐτῷ πλοῦτος τυφλὸς καὶ ἀκολουθεῖ τούτῳ καὶ τὰ λοιπά: — ‖ secuntur τὰ τοῦ δράματος πρόσωπα in *U* ‖

III. v. 8 ἀδμήτῳ· ‖ v. 9 ἀλκαίῳ | πασιφάῃ· ‖ v. 10 διδάξαι | κωμῳδίαν | ἰδίῳ ‖ v. 11 αὐτοῦ | δι ‖ v. 12 εκείνου | κώκαλον: — omissis καὶ Αἰολίσκωνα vocc. *V* ‖ sequitur ἐπίγραμμα ἐπιτύμβιον: θεῖος ἀριστοφάνευς κ. τ. λ. in *V* ‖

IIII. post ἄλλως περὶ κωμῳδιας legitur: ἀριστοφάνους ὑπόθεσις πλούτου: — |

v. 14 ὢν τίς ‖ v. 17 ἀνδρὶ περιτύχοι· | δ' ὀπτανεῖται τυφλὸς· ‖

*γνοὺς δ' αὐτόν, ἤγαγ' οἴκαδ', ἄλλους δημότας*
*καλέσας μετασχεῖν· εἶθ' ὑγιάσαι τὰς κόρας*
*ἔσπευδον· εἰς Ἀσκληπιοῦ δ' ἀπήγαγον.*
*ἡ δ' ἐκφανεῖσ' ἄφνω Πενία διεκώλυεν.*
*ὅμως ἀναβλέψαντος αὐτοῦ, τῶν κακῶν*
*οὐδεὶς ἐπλούτει, τῶν δ' ἀγαθῶν ἦν τἀγαθά.*

---

SCRIPTURAE DISCREPANTIA.

v. 1 *δαὐτὸν* | *ἤγαγ* ‖ v. 2 *εἴθ* ‖ v. 3 *απῆγον* ‖ v. 4 *ἧδ* (pro *ἡ δ' ἐκφανεῖσ'*) | *διεκώλυσ'·* | v. 6 *τἀγαθά*: — *V* ‖ verba ita distributa sunt, ut singuli versus finiantur vocibus: *δυνήσεται* | *δ' οπτανεῖται* | *ὑγιάσαι* | *ἀνα* (in *ἀναβλέψαντος*) | *τἀγαθά*: — *V* ‖

# ΠΛΟΥΤΟΣ.

*ΚΑΡ.* Ὡς ἀργαλέον πρᾶγμ᾽ ἐστιν, ὦ Ζεῦ καὶ θεοί,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
ἢν γὰρ τὰ βέλτισθ᾽ ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
καὶ ταῦτα μὲν δὴ ταῦτα. τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφός,
μελαγχολῶντ᾽ ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ᾽ αὐτῷ ποιεῖν.
οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα·
οὗτος δ᾽ ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,

---

SCRIPTURAE DISCREPANTIA.

v. 1 *ΚΑΡ.*] om. *V* Θ$^{ε}$/ *A* $\overset{\omega\nu}{\overset{\varrho\iota}{\kappa\alpha}}$ $A^2$ Θερ/ *U* (ubique in seqq. vv. pro *ΚΑΡ.* est Θ$^{ε}$/ in *A* et Θερ/ in *U*) | ἐστιν] ἐστὶν *R* εστὶν *V* | Ζεῦ] corr. ex Ζεὺ in *R* ‖ v. 3 ἢν] corr. ex ἦν *R* ἠν᾽ est in *V* ‖ v. 4 ταῦτα] ταὐτὰ *A* τ᾽ αὐτὰ *U* ‖ v. 8 τῷ δὲ] τῷδε *R* ‖ v. 10 ὅτι] insequenti versui adiectum in *V* ‖ v. 11 ὥς] ὡς *VA* (ς in rasura pinxit $V^2$) | φασιν] φασὶ *RV* φασιν corr. ex φασι in *A* ‖ v. 12 μου] υ in μ$\overset{\upsilon}{o}$ pinxit $V^2$ (ras. del. est una littera post ο in *V*) ‖ v. 14 τοὐναντίον] τοῦναντίον *R* | ποιεῖν] ποεῖν *R* ποεῖν ras. corr. ex ποιεῖν in *V* ‖ v. 15 ἡγούμεθα] corr. ex ἡγοῦμεθα in *R* ‖ v. 16 οὗτος] οὖ τος *R* | κἀμὲ] καμε *R* corr.

καὶ ταῦτ᾽ ἀποκρινόμενος τὸ παράπαν οὐδὲ γρῦ.
ἐγὼ μὲν οὖν οὐκ ἔσθ᾽ ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς ὅ τι τῷδ᾽ ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ᾽, ἀλλά σοι παρέξω πράγματα.
οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.
ΧΡΕ. μὰ Δί᾽, ἀλλ᾽ ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
ἵνα μᾶλλον ἀλγῇς. ΚΑΡ. λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι τίς ποτ᾽ ἐστὶν οὑτοσί·
εὔνους γὰρ ὤν σοι πυνθάνομαι πάνυ σφόδρα.
ΧΡΕ. ἀλλ᾽ οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε. ΚΑΡ. καὶ κλεπτίστατον.
ΧΡΕ. ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν. ΚΑΡ. οἶδά τοι.
ΧΡΕ. ἕτεροι δ᾽ ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες
καὶ συκοφάνται καὶ πονηροί. ΚΑΡ. πείθομαι.
ΧΡΕ. ἐπερησόμενος οὖν ᾠχόμην πρὸς τὸν θεόν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
τὸν δ᾽ υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,

---

ADNOTATIO CRITICA.

v. 17 *ἀποκρινόμενος* Bentleius. — v. 27 *καὶ κλεπτίστατον* verba Carioni tribuit Kappeynius van de Coppello.

---

SCRIPTURAE DISCREPANTIA.

in *κάμε* *R*[1] *καμὲ* est in *V* ‖ v. 17 *ἀποκρινόμενος*] *ἀποκρινομένῳ* *R* *ἀποκρινομένου* *VAU* | *παράπαν*] *πάραπαν* *R* | *οὐδὲ γρῦ*] *οὐδε γρύ*:· lemma scholii in *R* ‖ v. 19 *ἢν μὴ φράσῃς ὅ τι*] *ἢν μοι φράσῃς ὅτι* *R* ‖ v. 20 *αρ* litterae in *παρέξω*] madore exstinctae sunt in *R* ‖ v. 22 in *Δί᾽*] in ras. pinxit ʼʼ *V*[2] *δί* est in *U* | *ἀφελὼν τὸν στέφανον*] *ἀφελών γε τὸν στέφανον* *R* | *ἢν*] corr. ex *ἦν* in *R* ‖ v. 23 *ἀλγῇς*] corr. ex. *ἀλγεῖς* in *R* (*ἀλγῇς* corr. ex *ἀλγεῖς* lem. schol. in *R*) ‖ v. 24 *τίς*] *ς* in *τί*ˢ pinxit *V*[2] (ras. del. est una littera post *ί* in *V*) | *ἐστὶν*] *ἐστίν* *A* ‖ v. 25 *ὤν*] corr. ex *ὢν* in *R* ‖ v. 26 *οὔ σε*] *οὔ τι* *R* ‖ v. 27 *ΚΑΡ.*] omm. codd. ‖ v. 28 *ΧΡΕ.*] omm. codd. ‖ v. 29 ᾱκ/ *οἶδα τοι·* verba om. *V* supplevit *V*[2] ‖ v. 31 *πονηροί*] *πονηροι* *R* ‖ v. 32 *πρὸς*] *ὡς* *VAU* ‖ v. 33 *τοῦ*] om. *R* ‖ v. 37 *μηδὲ ἕν*] *μηδεὲν* *R* *μὴδὲ ἓν* *VA* *μηδεέν*

ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας συμφέρειν.
*ΚΑΡ.* τί δῆτα Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;
*ΧΡΕ.* πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,
ἐκέλευε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
*ΚΑΡ.* καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ; *ΧΡΕ.* τουτῳί.
*ΚΑΡ.* εἶτ' οὐ ξυνίεις τὴν ἐπίνοιαν τοῦ θεοῦ,
φράζοντος ὦ σκαιότατέ σοι σαφέστατα
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;
*ΧΡΕ.* τῷ τοῦτο κρίνεις; *ΚΑΡ.* δῆλον ὁτιὴ καὶ τυφλὸς
γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ σύμφορον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
*ΧΡΕ.* οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσί, καὶ τοῦ χάριν
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.
*ΚΑΡ.* ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ, φράσεις,

ADNOTATIO CRITICA.

v. 46 *φράζοντος* Cobetus aut Bischopius. — v. 48 *τυφλὸς* Hemsterhusius, sed nescio an v. 49 pro *γνῶναι* scribendum sit: *ὁρᾶν*. — v. 49 *σύμφορον* Meinekius. — v. 56 *πότερον* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

*U* ‖ v. 38 *αὐτὸ*] *ωὐτῶι* corr., ut videtur, ex *αὐτῶι V* | *συμφέρειν*] *ξυμφέρειν AU* ‖ v. 39 *τί*] *τὶ A* | *δῆτα*] *δῆθ' ὁ AU* ‖ v. 40 *πεύσει*] *πεύσῃ V* | *τοδί*] *ταδί V* ‖ v. 42 *ἐκέλευε*] *ἐκέλευσε VAU* ‖ v. 43 *ξυνακολουθεῖν*] *συνακολουθεῖν V* ‖ v. 45 *ΚΑΡ.*] om. *A* | *εἶτ'*] *εἴτ' R* | *ξυνίεις*] *ξυνίῃς AU* ‖ v. 46 *φράζοντος*] *φράζουσαν* codd. | *σκαιότατέ σοι*] *σκαιότατε σοὶ R σκαιότατε σοι V* corr. in *σκαιότατέ σοι* $V^2$ ‖ v. 48 *δῆλον ὁτιὴ*] *δηλον ὁτιῆ R δηλονότι V* corr. in *δηλονότιὴ* $V^2$ *δηλονοτιὴ AU* | *καὶ τυφλὸς*] *καὶ τυφλῷ R τυφλῷ V* corr. in *καὶ τυφλῷ* $V^2$ *καὶ τυφλῶ* est in *AU* ‖ v. 49 *ἐστὶ*] *εστι R ἔστι A* | *σύμφορον*] *συμφέρον RVU ξυμφέρον, A* ‖ v. 50 *χρόνῳ*] *βίωι R ἔτει* (et in margine: *γρ. γένει καὶ χρόνῳ*: —) *V* ‖ v. 51 *ΧΡΕ.*] om. *A* | *εἰς*] *ἐς V* | *τοῦτο ῥέπει*] *τοῦτο ρέπει R τουτὶ ῥέπει VU τοῦτοῤῥέπει A* ‖ v. 52 *ἢν*] *Θερ/ ἢν R ἠν V* ‖ v. 53 *ποτ' ἐστὶν*] *πότ' εστιν R ποτ' εστὶν V* mut. in *πότ' εστὶν* $V^2$ | *οὑτοσί*] corr. ex *οὗτοσί R οὑτοσὶ* corr. ex *οὐτοσὶ V* ‖ v. 54 *νῷν*] *νῶϊν VA* | *ἐνθαδί*] *ἐνθαδὶ* corr. ex *ἐνθαδί* in *R ἐνθαδὶ* est in *V* ‖ v. 55 *πυθοίμεθ'*] *πυθοῖμεθ' R* ‖ v. 56 *ΚΑΡ.*] $\overset{o}{\chi}$ sed erasum

ἢ τἀπὶ τούτοις δρῶ; λέγειν χρὴ ταχὺ πάνυ.
ΠΛ. ἐγὼ μὲν οἰμώζειν λέγω σοι. ΚΑΡ. μανθάνεις
ὅς φησιν εἶναι; ΧΡΕ. σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον. ΠΛ. κλάειν ἔγωγέ σοι λέγω.
ΚΑΡ. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.
ΧΡΕ. οὔ τοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.
ΚΑΡ. εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.
ΠΛ. ὦ τᾶν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ. ΧΡΕ. πώμαλα.
ΚΑΡ. καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστ', ὦ δέσποτα.
ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν καταλιπὼν
ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
ΧΡΕ. ἀλλ' αἶρε ταχέως. ΠΛ. μηδαμῶς. ΧΡΕ. οὔκουν ἐρεῖς;
ΠΛ. ἀλλ' ἢν πύθησθέ μ' ὅστις εἴμ', εὖ οἶδ' ὅτι
κακόν τί μ' ἐργάσεσθε κοὐκ ἀφήσετον.

---

SCRIPTURAE DISCREPANTIA.

*R* | πρότερον σὺ tr. *A* | πότερον] (sic *RV*) πρότερον *R*$^2$ (et lem. schol. in *R*) *AU* | φράσεις] φράσον *VAU* ‖ v. 57 τἀπὶ] τὰπι *R* | ante λέγειν] add. ⁰χ *R*$^4$ χρ^ε/ est in *AU* | πάνυ ταχύ tr. *V* ‖ v. 59 τοῦτ', οὐκ] τοῦτο κ' οὐκ *R* ‖ v. 60 σκαιῶς] σκαιὼς *U* | ἐκπυνθάνει] ἐκπυνθάνῃι *R* ἐκπυνθάνῃ *V* ‖ v. 62 α littera in κλάειν] madore exstincta est in *R* | ἔγωγέ σοι] έγωγέ σοι *R* ἔγωγε σοι *V* ἔγωγε σοὶ *U* ‖ v. 63 ΚΑΡ.] om. *A* ‖ v. 64 Δήμητρα] δήμητραν *VA* δήμητρ^ε^α *U* ‖ v. 65 ΚΑΡ.] omm. *VAU* ‖ εἰ] ἢν corr. ex εἰ in *A* | φράσεις] φράσεις corr. ex φράσῃς in *R* φράσῃς est in *A* | κακῶς] corr. ex κακοὶς *R* ‖ v. 66 τᾶν] τὰν *R* τάν *U* ‖ v. 67 ΚΑΡ.] Θερ/ *R* om. *A* | ὃ] ῶ *R* corr. in ὃ *R*$^4$ | βέλτιστόν] βέλτιόν *R* | ἐστ', ὦ δέσποτα.] εστιν δέσποτα· corr. ex εστιν ὠ δέσποτα. *R* ἐστὶ δέσποτα. est in *VU* ἐστι δέσποτα· *A* ‖ v. 68 τουτονί] τοῦτονί *R* ‖ v. 69 ἐπὶ κρημνόν] ἐπι κρημνόν *R* ἐπὶ κρημν^οῦ^όν *U* | τιν' αὐτὸν καταλιπὼν] τιν' αὐτὸν κἄτα λιπὼν, *V* haec corr. in καταλιπὼν, *V*$^2$ τινα κἇτ' αὐτὸν λιπὼν *A* τ^ὸς,^ιν' αὐτὸν καταλιπὼν *U* hoc mut. in μἇτα λιπὼν *U*$^2$ ‖ v. 70 ἐκεῖθεν ἵν' tr. *R* ‖ v. 71 ΧΡΕ. ante versum om. *A* | οὔκουν] οὐκοῦν *RVAU* corr. in οὔκουν *V*$^2$ ‖ v. 72 ἢν] ἦν *R* ἠν *V* corr. in ἢν *V*$^2$ | πύθησθέ] πύθοισθέ *R* | μ'] κου *A* | εἴμ'] εἶμ' *R* εἰμ' *VA* | εὖ] om. *R* in marg. add. *R*$^4$ ‖ v. 73 ἐργάσεσθε] mut. in ἐργάσεσθον *U*$^2$ ἐργάσησθον est in *V* | ἀφήσετον] ἀφήσετε *U* corr. in ἀφήσετον *U*$^2$ ‖

*ΧΡΕ.* νὴ τοὺς θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.
*ΠΛ.* μέθεσθέ νύν μου πρῶτον. *ΧΡΕ.* ἤν, μεθίεμεν.
*ΠΛ.* ἀκούετον δή. δεῖ γὰρ ὡς ἔοικέ με
λέγειν ἃ κρύπτειν ἦ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι Πλοῦτος. *ΚΑΡ.* ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων, εἶτ' ἐσίγας Πλοῦτος ὤν;
*ΧΡΕ.* σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
ὦ Φοῖβ' Ἄπολλον καὶ θεοὶ καὶ δαίμονες
καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ; *ΠΛ.* ναί.
*ΧΡΕ.* ἐκεῖνος αὐτός; *ΠΛ.* αὐτότατος. *ΧΡΕ.* πόθεν οὖν, φράσον,
αὐχμῶν βαδίζεις; *ΠΛ.* ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο.
*ΧΡΕ.* τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.
*ΠΛ.* ὁ Ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν.
ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ' ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους

ADNOTATIO CRITICA.

v. 77 ἦ Kusterus. — v. 78 *ΚΑΡ.* et v. 80 *ΧΡΕ.* Bergkius.

SCRIPTURAE DISCREPANTIA.

v. 74 βούλῃ] βούλει *R* | σύ.] σὺ *A* ‖ v. 75 *ΠΛ.*] om. *A* | μέθεσθέ
νύν μου] μέθεσθε νῦν μου *R* μέθετόν με νῦν *V* μέθεσθέ μου τὸ *A* | ἤν]
ἰδοὺ
ἦ̓ν *R* ἠνὶ in marg. *R*[4] ἦν *V* ἦν *A* corr. in ἤν superscr. δὲ *A*[2] ἠνὶ *U* |
μεθίεμεν.] μεθίεμεν; *R* ‖ v. 76 *ΠΛ.*] om. *R* add. *R*[4] | δή] δὴ *R*
οἱ
corr. in δὴ· *R*[4] δή· est in *A* | ἔοικέ με] ἔοικ ἐμὲ *V* ἔοικ' ἐμὲ
*U* ‖ v. 77 λέγειν] antecedenti versui add. *V* | ἦ] ἦν *RVAU* ‖
v. 78 *ΚΑΡ.*] χρ^ε/ *RVAU* | γάρ εἰμι] γὰρ εἰμὶ *V* ‖ v. 79 εἶτ'] εἴτ'
*U* ‖ v. 80 *ΧΡΕ.*] om. *R* καρ. add. *R*[4] ras. del. est nota pers. in
*V* Θε/ est in *A* om. *U* | Πλοῦτος,] Πλοῦτος; *R* ‖ v. 82 καὶ Ζεῦ]
antecedenti versui add. *V* | Ζεῦ] Ζεὺ *R* | φῄς;] φὴς· *V* φής· *A* |
σύ;] σὺ, *A* | *ΠΛ.*] supra versum adscriptum in *V* | ναί.] ναὶ·
*A* ‖ v. 83 αὐτός;] αὐτὸς, *A* | πόθεν] πόθε *R* | οὖν] ουν *R* corr.
in οὖν *R*[4] ‖ v. 85 ἐξ ὅτουπερ] ἐξότουπερ *RAU* εξότουπερ *V* ‖
v. 86 τουτὶ] τοῦτὶ *R* τουτί *VA* | ἔπαθες;] ἔπαθες *VA* | κάτειπέ]
κατειπὲ ras. corr. ex κἀτ εἶπέ in *R* ‖ v. 87 Ζεύς] ζεὺς *R* ζεῦς
*V* | φθονῶν] corr. ex φθονών in *R* ‖ v. 88 ὅτι] ότι *R* corr. in
εἰς
ὅτι *R*[4] ‖ v. 89 ὡς] ὡς *U* ‖

μόνους βαδιοίμην· ὁ δέ μ' ἐποίησεν τυφλόν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
ΧΡΕ. καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους
καὶ τοὺς δικαίους. ΠΛ. ὁμολογῶ σοι. ΧΡΕ. φέρε,
τί οὖν;
εἰ πάλιν ἀναβλέψειας ὥσπερ καὶ πρὸ τοῦ,
φεύγοις ἂν ἤδη τοὺς πονηρούς; ΠΛ. φήμ' ἐγώ.
ΧΡΕ. ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις; ΠΛ. πάνυ μὲν οὖν·
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακ' ἐγὼ χρόνου.
ΚΑΡ. καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
ΠΛ. ἄφετόν με νῦν. ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ.
ΧΡΕ. μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
ΠΛ. οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι; ΧΡΕ. καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
καὶ μή μ' ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα·
ΚΑΡ. μὰ τὸν Δί'· οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.
ΠΛ. ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δέ μου

---

ADNOTATIO CRITICA.

v. 90 *ἐποίησεν* Hemsterhusius. — v. 92 nescio an hic versus spurius sit. — v. 98 *ἑόρακ' ἐγὼ* Bergkius (*ἐγὼ* Dawesius). — v. 99 *ΚΑΡ.* Bambergius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 90 *ἐποίησεν*] *ἐποίησε* *RVAU* ‖ v. 91 *διαγιγνώσκοιμι*] *διαγινώσκοιμι* *RVAU* | *τούτων*] corr. ex *τοῦτον* *R* ‖ v. 92 *οὕτως*] *χρ*ε/ *οὕτως* *V* | *χρηστοῖσι*] *χρηστοῖς* *V* ‖ v. 93 *ΧΡΕ.*] om. *V* ‖ v. 94 *τί οὖν;*] *τι οὖν·* *R* ‖ v. 95 *ὥσπερ*] *ὡσπερ* *R* corr. in *ὥσπερ* *R*[4] | *πρὸ τοῦ*] *προ τοῦ* *RA* ‖ v. 96 *ΠΛ.*] om. *V* | *φήμ'*] *φῆμ'* *VA* ‖ v. 98 *ἑόρακ'*] *εώρακα* *R* *ἑώρακα* *VAU* | *ἐγὼ*] *πω* *R* *που* *V* omm. *AU* ‖ v. 99 *ΚΑΡ.*] *χρ*ε/ codd. ‖ v. 100 *ἴστον*] *ἴσθον* *R* corr. in marg. *R*[4] | *γὰρ ἤδη*] *γαρ ήδη* *R* corr. *R*[4] | *τἀπ' ἐμοῦ*] *τ' ἀπεμοῦ* *R* *τἀπ' εμοῦ* corr. ex *τάπο εμοῦ* ut videtur in *V* *τἄπ' ἐμοῦ* est in *U* ‖ v. 102 *ἠγόρευον*] *ἠγόρευων* *U* | *πράγματα*] *πράγματ'* rasura corr. ex *πράγματα* in *U* ‖ v. 103 *γ'*] *γε* *R* ‖ v. 106 *ΚΑΡ.*] omm. *RAU* (*κ*α. est in *V*) | in *Δί'·*] in ras. pictum est *ί'· α* *V*[2] | *γὰρ ἔστιν*] *γάρ ἐστιν* *VA* | *ἐγώ.*] *ἐγω·* *γρ.* *ἐμοῦ* *V* ‖ v. 107 *ταυτὶ*] *ταυτί* *A* | *ἡνίκ' ἂν δέ μου*] *ἡνίκα*

τύχωσ᾽ ἀληθῶς καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
ΧΡΕ. ἔχει μὲν οὕτως, εἰσὶ δ᾽ οὐ πάντες κακοί.
ΠΛ. μὰ Δί᾽, ἀλλ᾽ ἀπαξάπαντες. ΚΑΡ. οἰμώξει μακρά.
ΧΡΕ. σὺ δ᾽ ὡς ἂν εἰδῇς ὅσα, παρ᾽ ἡμῖν ἢν μένῃς,
γενήσετ᾽ ἀγαθά, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
οἶμαι γάρ, οἶμαι, σὺν θεῷ δ᾽ εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
βλέψαι ποιήσας. ΠΛ. μηδαμῶς τοῦτ᾽ ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. ΧΡΕ. τί φῄς;
ΚΑΡ. ἅνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛ. ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων μῶρ᾽ ἐμὲ
αἴσχιστ᾽ ἂν ἐπιτρίψειε. ΧΡΕ. νῦν δ᾽ οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
ΠΛ. οὐκ οἶδ᾽· ἐγὼ δ᾽ ἐκεῖνον ὀρρωδῶ πάνυ.
ΧΡΕ. ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐὰν ἀναβλέψῃς σὺ κἂν σμικρὸν χρόνον;

---

ADNOTATIO CRITICA.

v. 118 ἅνθρωπος Dindorfius. — v. 119 αἴσχιστ᾽ e coniectura quamvis incerta scripsi, εἰ πύθοιτο verba interpretamentum existimans εἰδὼς voc.

---

SCRIPTURAE DISCREPANTIA.

δἂν ἐμοῦ *V* ‖ v. 109 ἀτεχνῶς] εὐτεχνῶς *V* ‖ v. 110 εἰσὶ] εἰσί *A* ‖ v. 111 ἀλλ᾽ ἀπαξάπαντες] ἄλλ᾽ ἅπαξ ἅπαντες *R* | *ΚΑΡ.*] Θεο̣ͣ/ *R* supra versum adscriptum κα· in *V* | μακρά] μακράν *RV* | v. 112 *ΧΡΕ.*] om. *R* supplevit *R*¹ | σὺ] σύ *AU* | ἢν] ἦν *R* ‖ v. 114 σὺν] ξυν *V* ξὺν *AU* ‖ v. 116 ποιήσας] ποήσας *RV* | ἐργάσῃ] ἐργάσει *U* ‖ v. 117 πάλιν] om. *R* | φῄς;] φῄς· *R* φηῖσ *V* corr. in φήισ *V*² φὴς est in *A* ‖ v. 118 *ΚΑΡ.*] om. *R* add. *R*¹ | ἅνθρωπος] ἄνθρωπος *RVU* ἀνθρωπος *A* | οὗτός ἐστιν] οὗτος ἐστὶν *V* ‖ v. 119 ἐμὲ] ἔμ εἰ *R* ἔμ᾽ ει *V* ἔμ᾽ εἰ *A* ἔμ᾽ εἰ (ἔπη supra) *U* ‖ v. 120 αἴσχιστ᾽ ἂν] πύθοιτ᾽ ἂν *RA* πύθοιτ᾽ *V* πύθοιτ᾽ ἄν *U* | ἐπιτρίψειε] επιτρίψειε *R* επιτρίψειεν *V* ‖ v. 121 ἐᾷ;] εᾷ· *R* ἐᾶ· *V* corr. in ἐᾶ; *V*² ἐᾷ; minio corr. ex ἐᾶ; in *A* ‖ v. 122 οὐκ] ουκ *V* corr. *V*² | οἶδ᾽·] οἶδ᾽ *V* corr. in οἶδ᾽· *V*² | ἐγὼ] in rasura pinxit *V*² | δ᾽] δ *V* corr. in δ᾽ *V*² ‖ v. 123 δαιμόνων;] δαιμόνων *V* mut. in δαιμόνων· *V*² δαιμόνων, est in *A* ‖ v. 126 ἐὰν ἁ antecedenti versui continuavit *V* | κἂν] κἀν *RV* | σμικρὸν] μικρὸν *RVU* ἐπὶ

ΠΛ. ἆ, μὴ λέγ', ὦ πονηρέ, ταῦτ'. ΧΡΕ. ἔχ' ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον. ΠΛ. ἐμὲ σύ; ΧΡΕ. νὴ τὸν οὐρανόν.
αὐτίκα γὰρ ἄρχει διὰ τί ὁ Ζεὺς τῶν θεῶν;
ΚΑΡ. διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ. ΧΡΕ. φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ'; ΚΑΡ. ὁδί.
ΧΡΕ. θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;
ΚΑΡ. καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡΕ. οὔκουν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ'; ΠΛ. ὁτιὴ τί δή;
ΧΡΕ. ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδὲ ἕν,
μὴ βουλομένου σοῦ. ΠΛ. πῶς; ΧΡΕ. ὅπως; οὐκ ἔσθ' ὅπως
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς

ADNOTATIO CRITICA.

v. 127 πονηρέ Brunckius. — v. 130 τί Porsonus. — v. 135 οὔκουν Brunckius. — v. 136 παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ'; Dindorfius — ὁτιὴ Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

σμικρὸν *A* ‖ v. 127 πονηρέ] πόνηρε codd. | ΧΡΕ.] omm. *RAU* supra versum supplevit *V* ‖ v. 128 ἐγὼ] χ ἐγὼ *RAU* ‖ v. 129 μεῖζον] μείζω *R* μεῖζον antecedenti versui contin. *V* ‖ v. 130 τί] τίν' codd. ‖ v. 131 ΚΑΡ.] Θερ/ *R* | διὰ τἀργύριον] δια τ' ἀργύριον *R* διὰ τ' ἀργύριον *U* | γάρ ἐστ'] γὰρ ἔστ' *R* | ΧΡΕ.] supra versum suppl. *V* ‖ v. 132 ἐστὶν] ἔστιν *A* | ἐστὶν ὁ παρέχων tr. *V* | αὐτῷ] αὐτὸ *RA* ‖ v. 134 ΚΑΡ.] om. *V* Θερ/ est in *R* ‖ v. 135 οὔκουν] οὐκ' οὖν *R* οὐκ οὖν *V* οὐκοῦν *AU* | ὅδ'] ὁδ *V* | ῥᾳδίως] ραδίως *R* ῥαδίως *VAU* ‖ v. 136 παύσει' ἄν] παύσειαν *R* παύσειεν *AU* quique anteced. v. contin. *V* | ταῦθ';] ταῦτα· *R* ταῦτ' ἂν: *V* ταῦτ' ἂν· *A* ταῦτ'; *U* | ΠΛ.] κα. *V* | ὁτιὴ τί δή;] ὅτι τί δή· *RU* ὅτι δή; γρ. ὅτινα *V* ὅτι τί δὴ· *A* ‖ v. 137 ὅτι] ὅτ' *AU* | οὐδ' ἂν εἷς] οὐδεὶς ἂν *V* ‖ v. 138 οὐ βοῦν ἂν οὐχι (οὐχι est etiam in *R* οὐχί in *A*) ψαιστὸν· anteced. v. contin. *V* | ἄν] om. *A* | οὐκ ἄλλ'] οὐκ ἀλλ' *RU* οὐκ' ἀλλ' *V* | οὐδὲ ἕν,] οὐδε ἓν, (hoc corr. ex ἕν) *R* ουδὲ ἕν· *V* οὐδὲ ἓν, *A* οὐδεέν, *U* ‖ v. 139 σοῦ] σου *V* | ΧΡΕ.] supra versum suppll. *VA* item ΠΛ. *V* | ὅπως alterum] ὅπου *V* | οὐκ ἔσθ ὅπου insequenti vers. add. *V* ‖ v. 140 ἢν] ἢν *R* ‖ v. 141 διδῷς] διδως *R* δίδως *V* | τἀργύριον,] τ' ἀρ-

τὴν δύναμιν, ἣν λυπῇ τι, καταλύσεις μόνος.
ΠΛ. τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ; ΧΡΕ. φήμ' ἐγώ.
καὶ νὴ Δί' εἴ τί γ' ἔστι λαμπρὸν καὶ καλὸν
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.
ΚΑΡ. ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι, πρότερον ὢν ἐλεύθερος.
ΧΡΕ. καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ἐς τοῦτον τρέπειν.
ΚΑΡ. καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν,
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
ΧΡΕ. οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί. ΚΑΡ. τί δαί;

ADNOTATIO CRITICA.

v. 148 πρότερον ὢν ἐλεύθερος. restituit Heimreichius scholio usus.

SCRIPTURAE DISCREPANTIA.

γύριον· *R* ‖ v. 142 ἣν] ἦν *R* ἢν *V* | τὴν δύναμιν ἣν antec. vers. cont. *V* | λυπῇ] λυπῆι corr. ex λυπῆισ in *R* | τι] τί *RVA* | καταλύσεις] $\overset{ηι}{\text{καταλύσεις}}$ *R* ‖ v. 143 τί λέγεις antec. vers. cont. *V* | *ΧΡΕ.*] supra vers. suppl. *V* | φήμ'] φῆμ *V* | ἐγώ] ἐγὼ *RV* corr. *R²* ‖ v. 144 Δί'] δία *V* | τί] τι *RVA* | γ'] postea inseruit *V* | ἔστι] ἐστὶ *RVA* | λαμπρὸν καὶ] om. *V* | καλὸν καὶ λαμπρὸν, ($\overset{β}{\text{καλὸν}}$, $\overset{α}{\text{λαμπρὸν}}$) tr. sed corr. *A* ‖ v. 145 χάριεν] χαρίεν *R* corr. *R²* χαρίεν minio corr. ex χάριεν in *A* | ἀνθρώποισι,] ἐν ἀνθρώποισι *VA* | γίγνεται] γίνεται *V* ‖ v. 146 τῷ] $\overset{ῶι}{\text{τοῦ}}$ *V* τὼ *U* | γάρ ἐσθ'] γὰρ ἔσθ' *RVA* ‖ v. 147 *ΚΑΡ.*] Θε/ *R* | ἔγωγέ] ἐγωγέ *U* | μικρὸν] σμικρὸν *AU* | ἀργυρίδιον] γ' ἀργυρίδιον, *A* ‖ v. 148 δοῦλος γεγένημαι· antec. vers. contin. *V* | πρότερον ὢν ἐλεύθερος] διὰ τὸ μὴ πλουτεῖν ἴσως codd. ‖ v. 149 ἑταίρας] εταῖρας *R* ‖ v. 150 ὅταν] ὅτ' ἂν *R* ὅτ' ἂν *V* | αὐτάς τις] αὐτὰς τίς *A* ‖ v. 151 ἐὰν] ἂν *V* ‖ v. 152 εὐθὺς ἐς] εὐθὺς ὡς *VAU* | τρέπειν] ῥέπειν *A* ‖ v. 153 *ΚΑΡ.*] Θε/ *RA* om. *V* | τούς] τοῦς *R* | παῖδάς] παῖδας codd. | φασι] φασὶν *R* φασὶ *VU* φασί *A* | ταὐτὸ] αὐτὸ *R* ταὐτὸν *A* ‖ v. 154 ἀλλὰ τἀργυρίου] ἀλλά τ' ἀργυρίου *R* ‖ v. 155 *ΧΡΕ.*] $\overset{λ}{\text{π}}$ *V* ‖ v. 156 αἰτοῦσιν] αἰτοῦσι *V* | *ΚΑΡ.*] π (= πλοῦτος) *R* $\overset{ε}{\text{χρ}}$ *V* | δαί;] δαι *A* ‖

*ΧΡΕ.* ὁ μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικούς.
*ΚΑΡ.* αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.
*ΧΡΕ.* τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα
ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ' εὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος,
ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται.
*ΚΑΡ.* ὁ δὲ χρυσοχοεῖ γε, χρυσίον παρὰ σοῦ λαβών,
*ΧΡΕ.* ὁ δὲ λωποδυτεῖ γε νὴ Δί', *ΚΑΡ.* ὁ δὲ τοιχωρυχεῖ,
*ΧΡΕ.* ὁ δὲ γναφεύει γ'. *ΚΑΡ.* ὁ δέ γε πλύνει κῴδια,
*ΧΡΕ.* ὁ δὲ βυρσοδεψεῖ γ'. *ΚΑΡ.* ὁ δέ γε πωλεῖ κρόμμυα,
*ΧΕΡ.* ὁ δ' ἁλοὺς γε μοιχὸς διὰ σέ γ' οὐ παρατίλλεται.
*ΠΛ.* οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.
*ΚΑΡ.* μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
*ΧΡΕ.* ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;

ADNOTATIO CRITICA.

vv. 160—168 inter Chremylum et Carionem distribuit Brunckius. — vv. 164 et 165 *ΚΑΡ.*, *ΧΡΕ.*, *ΚΑΡ.* Hirschigius. — v. 168 γ' οὐ Valckenarius. — vv. 168—180 inter Chremylum et Carionem ita verba distribuit Meinekius.

SCRIPTURAE DISCREPANTIA.

v. 157 *ΧΡΕ.*] $\overset{\lambda}{\pi}$ *V* | θηρευτικούς] θηρευτικάς *V* θηρευτικὰς *A* ‖ v. 158 *ΚΑΡ.*] om. *R* $\overset{\varepsilon}{\chi\varrho}$ est in *V* | αἰσχυνόμενοι] corr. ex αἰσχυνομένοι in *R* ‖ v. 159 ὀνόματι anteced. vers. contin. *V* ‖ v. 160 *ΧΡΕ.*] omm. *RV* | διὰ σὲ] δια σε *R* ‖ v. 161 ἐν τοῖσιν anteced. vers. contin. *V* | ἀνθρώποισίν ἐσθ'] ἀνθρώποισιν ἔσθ' *RA* ἀνθρώποισιν ἔσθ *V* ‖ v. 162 αὐτῶν] om. *R* ἡμῶν *V* | αὐτῶν $\overset{\kappa\alpha\grave{\iota}}{\sigma}$κυτοτομεῖ *U* | ὁ μὲν γὰρ ἡμῶν. anteced. vers. contin. *V* ‖ v. 163 ἕτερος δὲ] ἕτερος *U* | τις,] τίς· *RVA* | post τίς· est: ὑποδήματα ῥάπτει· (sed potius ut scholium pictum) *V* | ὁ δὲ τεκταίνεται. inseq. vers. add. *V* ‖ v. 164 *ΚΑΡ.*] omm. codd. | γε,] γε νή· *V* ‖ v. 165 *ΧΡΕ.*] omm. codd. | γε νὴ] νὴ *A* | *ΚΑΡ.*] omm. codd. | τοιχωρυχεῖ] τοιχωροιχεῖ (sed lemma schol. τοιχωρυχεῖ) *R* τυχωρυχεῖ *A* ‖ v. 166 *ΧΡΕ.*] omm. codd. | γναφεύει] (sic *AU*) κναφεύει *RV* | γ'] om. *V* | *ΚΑΡ.*] omm. codd. | ὁ δέ] ὃς δὲ *A* | γε] omm. *RVA* | κῴδια,] κώδια· ὁ *V* κώδια *A* ‖ v. 167 *ΧΡΕ.*] omm. codd. | γ'] γὲ *R* om. *V* | *ΚΑΡ.*] omm. codd. | γε] omm. *RV* ‖ v. 168 *ΧΡΕ.*] omm. codd. | ἁλούς] αλούς *R* | σέ] σε *R* σὲ *V* | γ' οὐ] που *RAU* ποῦ *V* ‖ v. 169 ἐλάνθανεν] ελάνθανε *V* ‖ v. 170 *ΚΑΡ.*] om. *R* $\overset{o}{\chi}$ add. *R*[2] $\overset{\varepsilon}{\chi\varrho}$/ est in *VAU* | οὐχὶ] οὐχι *R* ‖ v. 171 *ΧΡΕ.*] omm. codd. | δ'] δὲ (lemma schol. δέ) *R* | οὐχὶ] οὐχι *R* ουχὶ *V* | γίγνεται] γίνεται *V* ‖

ΚΑΡ. τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.
ΧΡΕ. τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
ΚΑΡ. ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
ΧΡΕ. ὁ βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
ΚΑΡ. Ἀγύρριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
ΧΡΕ. Φιλέψιος δ' οὐχ ἕνεκα σοῦ μύθους λέγει;
ΚΑΡ. ἡ ξυμμαχία δ' οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;
ΧΡΕ. ἐρᾷ δὲ Ναῒς οὐ διὰ σὲ Φιλωνίδου;
ΚΑΡ. ὁ Τιμοθέου δὲ πύργος — ΧΡΕ. ἐμπέσοι γέ σοι.
τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.
ΚΑΡ. κρατοῦσι γοῦν κἂν τοῖς πολέμοις ἑκάστοτε
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνοι.
ΠΛ. ἐγὼ τοσαῦτα δυνατὸς εἴμ' εἷς ὢν ποιεῖν;

---

ADNOTATIO CRITICA.

v. 175 *βελονοπώλης* (pro *Βελονοπώλης*) scribendum esse primus intellexit Duckerus. — v. 179 *Ναῒς* Athenaeus. — v. 185 *μόνοι* mea coniectura est.

---

SCRIPTURAE DISCREPANTIA.

v. 172 *ΚΑΡ.*] (sic *καρ/ U*) omm. *RV Θε/* est in *A* | *δέ;*] *δαί; R δαὶ V δε AU* | *τὰς*] omm. *RV* superscr. *R*² | *πληροῖς;*] *πληροῖς RVA* | *μοι.*] *μοι; RVA* ‖ v. 173 *ΧΡΕ.*] (sic *AU*) omm. *RV* ‖ v. 174 *ΚΑΡ.*] (sic *καρ/ U*) *Θέ A* omm. *RV* | *δ' οὐχὶ*] *δὲ οὐχι R* ‖ v. 175 *ΧΡΕ.*] omm. *RV* | *δ' οὐχὶ*] *δὲ. οὐχι R* ‖ v. 176 *ΚΑΡ.*] omm. *RV Θέ* ut solet est in *A* | *Ἀγύρριος*] *ἀγύριος V ἀργύρριος U* | *δ' οὐχὶ*] *δὲ οὐχι R* ‖ v. 177 *ΧΡΕ.*] omm. *RV* | *δ'*] *δὲ R* | *σοῦ*] *σου V* ‖ v. 178 *ΚΑΡ.*] (sic *U*) omm. *RV Θε/* est in *A* | *οὐ*] *οὐχὶ VAU* | *διὰ σὲ*] *δια σε R* corr. *R*¹ ‖ v. 179 *ΧΡΕ.*] (sic *AU*) omm. *RV* | *Ναῒς*] *λαῒς R* corr. in *λαῒς R*¹ *λαῒς* est in *VAU* | *διὰ σὲ*] *δια σε R* corr. *R*¹ ‖ v. 180 *ΚΑΡ.*] omm. *RV* | *πύργος —*] *πύργος R πύργος· V πύργος; AU* | *ΧΡΕ.*] om. *R κα/* add. *R*¹ *κ*(α) est in *V* ‖ v. 181 *τὰ*] *κα/ τὰ UR χρ*(ε) *τὰ R*¹ *V* | *πράγματ'*] *πραγματα V πράγματα U* | *οὐχὶ*] *οὐχι R* | *πράττεται;*] corr. ex *πράττετ' αι;* in *R γίνεται;* est in *V πράττεται· A* ‖ v. 184 *ΚΑΡ.*] *Θε/ R χ*(ο) *R*² omm. *AU* | *γοῦν*] *γοῦν V* | *κἂν*] *καν R καὶ V κἂν U* ‖ v. 185 *ἂν*] *ἀν R* | *οὗτος*] *αὐτὸς V* | *μόνοι*] *μόνον R μόνος VUA* (sed *ς* in rasura in *A*) ‖ v. 186 *τοσαῦτα*] *τοσαυτὶ V* | *εἴμ'*] *εἰμὶ R εἶμ' V* | *ὢν*] *ὢ R* corr. *R*² | *ποιεῖν*]

ΧΡΕ. καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ᾽ οὐδὲ μεστὸς σοῦ γέγον᾽ οὐδεὶς πώποτε.
τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος ΚΑΡ. ἄρτων ΧΡΕ. μουσικῆς ΚΑΡ. τραγημάτων
ΧΡΕ. τιμῆς ΚΑΡ. πλακούντων ΧΡΕ. ἀνδραγαθίας ΚΑΡ. ἰσχάδων
ΧΡΕ. φιλοτιμίας ΚΑΡ. μάζης ΧΡΕ. στρατηγίας ΚΑΡ. φακῆς.
ΧΡΕ. σοῦ δ᾽ ἐγένετ᾽ οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ᾽ ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
κἂν ταῦτ᾽ ἀνύσηται, τετταράκοντα βούλεται,
ἤ φησιν οὐ βιωτὸν εἶναι τὸν βίον.
ΠΛ. εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα. ΧΡΕ. φράζε, τοῦ πέρι.

ADNOTATIO CRITICA.

v. 196 κἂν Brunckius — ἀνύσηται Darvesius. — v. 197 εἶναι Porsonus.

SCRIPTURAE DISCREPANTIA.

ποεῖν *RVAU* ‖ v. 187 *ΧΡΕ.*] om. *R* χ̊ in ras. add. $R^2$ καρ/ est in *U* | μὰ Δία] μα δί᾽ *V* ‖ v. 188 ὥστ᾽] ὥστε *R* | μεστὸς σοῦ] μεστός σου *RVA* | γέγον᾽] γέγονεν *RVU* ‖ v. 189 ἐστὶ πάντων] πάντων ἔστι *RU* ἔστι πάντων *A* ‖ v. 190 Supra versum adscriptae sunt notae perss., item in vv. 191, 192, 199 *V* | ἔρωτος] ἔρωτος· *RVA* χο/ ἔρωτος· *U* | *ΚΑΡ.*] om. *R* | ἄρτων] ἄρτων· *RVA* | *ΧΡΕ.*] supra versum adscr. in *R* | μουσικῆς] μουσικῆς· *RV* | *ΚΑΡ.*] Θε/ *R* | τραγημάτων] τραγημάτων· *VA* ‖ v. 191 τιμῆς] τιμῆς· *RVA* | *ΚΑΡ.*] Θε. *R* | πλακούντων] πλακούντων· *RVA* | ἀνδραγαθίας] ἀνδραγαθίας· *RV* | *ΚΑΡ.*] Θε. *R* | ἰσχάδων] ἰσχάδων· *RA* ‖ v. 192 φιλοτιμίας] φιλοτιμίας· *RA* φιλοτιμίας: *V* | *ΚΑΡ.*] Θε. *R* | μάζης] μάζης· *V* | στρατηγίας] στρατηγίας· *RVA* | *ΚΑΡ.*] Θε. *R* ‖ v. 193 *ΧΡΕ.*] om. *R* | οὐδεπώποτε] οὐδὲ πώποτε *VAU* ‖ v. 194 ἢν] ἢ̓ν *R* ἠν *V* τριακαίδεκα] τριακαίδεκα (γρ. τρις) *U* ‖ v. 195 Totum versum om. *R* inseruit $R^2$ (ut videtur) om. *A* in margine add. $A^2$ (aut $A^3$) | ἑκκαίδεκα] ἐκκαίδεκα *VU* ‖ v. 196 κἂν] κ᾽ ἠν *RU* κὴν *V* κῆν *A* | ταῦτ᾽] ταῦθ᾽ *R* | ἀνύσηται] ἀνύσηι *RV* ἀνύση *AU* ‖ v. 197 ἤ φησιν] ἢ φησὶν *RV* | οὐ βιωτὸν] οὐκ εἶναι βιωτὸν *RVU* ἀβίωτον *A* | εἶναι] αὐτῷ *RV* αὐτᾶ *AU* ‖ v. 198 τοι] τοί (τι) *V* | ἔμοιγε] ἐμοῖγε *R* corr. $R^2$ ‖ v. 199 ἓν] ἓν (corr. ex ἓ) in *V* | φράζε] φραζε *R* corr. $R^1$ φράσον est in *V* | πέρι] περί *R* πέρι



10/1730

*ΠΛ.* ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
*ΧΡΕ.* νὴ τὸν Δί᾽· ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ᾽ ὁ πλοῦτος. *ΠΛ.* ἥκιστ᾽, ἀλλά με
τοιχωρύχος τις διέβαλ᾽. εἰσδὺς γάρ ποτε
οὐκ εἶχεν ἐκ τῆς οἰκίας οὐδὲν λαβεῖν,
εὑρὼν ἅπαξάπαντα κατακεκλειμένα·
εἶτ᾽ ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.
*ΧΡΕ.* μή νυν μελέτω σοι μηδέν· ὡς, ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
βλέποντ᾽ ἀποδείξω σ᾽ ὀξύτερον τοῦ Λυγκέως.
*ΠΛ.* πῶς οὖν δυνήσει τοῦτο δρᾶν σὺ θνητὸς ὤν;
*ΧΡΕ.* ἔχω τιν᾽ ἀγαθὴν ἐλπίδ᾽ ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς Πυθικὴν σείσας δάφνην.
*ΠΛ.* κἀκεῖνος οὖν σύνοιδε ταῦτα; *ΧΡΕ.* φήμ᾽ ἐγώ.

---

ADNOTATIO CRITICA.

v. 205 *ἐκ τῆς οἰκίας* Bothius. — post v. 207 mihi videri excidisse versum sic fere comparatum: *ἀλλ᾽ οὐ βλέπω γάρ, ὥστε τῶν ἐμῶν κρατεῖν* alio loco exposui. — v. 208 *μή νυν* Cobetus. — v. 211 *δρᾶν σὺ* Cobetus.

---

SCRIPTURAE DISCREPANTIA.

corr. ex *περί V* ‖ v. 200 *τὴν δύναμιν*] *τὴν* (superscr. *τῆς*) *δύναμιν* (superscr. *εως*) *U* | *φατε*] *φατὲ* codd. ‖ v. 202 *καὶ*] om. *U* ‖ v. 203 *δειλότατόν*] *δειλότατος RAU* | *δειλότατον* anteced. vers. cont. *V* | *ἐσθ᾽*] *ἔσθ᾽ RAU ἔσθ V* ‖ v. 204 *τις*] *τίς VAU* | *διέβαλ᾽*] *διέβαλεν VA* | *εἰσδὺς γάρ ποτε*] *εἰσδύς γαρ ποτὲ R* ‖ v. 205 *ἐκ τῆς οἰκίας*] *εἰς τὴν οἰκίαν* codd. | *οὐδὲν*] *οὐδὲ* corr. in *οὐδὲ^ν R* | *λαβεῖν*] *λαμβάνειν V* ‖ vv. 206 et 207 inverso ordine leguntur, sed iustus ordo restitutus est appictis in margine iuxta versus litteris *β* et *α* in *R* ‖ v. 206 *ἅπαξάπαντα*] *απαξ ἅπαντα R* | *κατακεκλειμένα*] *κατακεκλεισμένα VA* ‖ v. 207 *ὠνόμασέ*] (sic *AU*) *ὠνόμασέν RV* | *δειλίαν*] corr. ex *δουλίαν* in *A* ‖ v. 208 *μή νυν*] *μὴ νῦν* codd. ‖ v. 209 *εἰς*] *ἐς V* ‖ v. 210 *τοῦ Λυγκέως*] *λυγκέως VAU* ‖ v. 211 *οὖν*] *οὐ R* corr. in *οὐν* $R^3$ | *δυνήσει*] *δ^υηνήσει R δυνήσῃι V δυνήσῃ AU* | *δρᾶν σὺ*] *δρᾶσαι RAU δράσαι V* | *ὤν;*] *ὤν· RV ὧν A* ‖ v. 212 *τιν᾽*] *τίν᾽ RVU* | *ἐλπίδ᾽*] *ἐλπίδα R* | *ὧν*] *ὧν R* | *εἶπέ*] *εἰπέ R* ‖ v. 214 *κἀκεῖνος*] *κακεῖνος RV* | *σύνοιδε*] *ξύνοιδε V* | *ταῦτα;*] (sic *RVA*) *ταῦτα U* | *ΧΡΕ.*] supra versum adscr. *V* | *φήμ᾽*] *φῆμ᾽ V* ‖

*ΠΛ.* ὁρᾶτε — *ΧΡΕ.* μὴ φρόντιζε μηδέν, ὦγαθέ.
ἐγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἂν χρῇ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα. *ΚΑΡ.* κἂν βούλῃ γ', ἐγώ.
*ΧΡΕ.* πολλοὶ δ' ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
*ΠΛ.* παπαῖ, πονηρούς γ' εἶπας ἡμῖν συμμάχους.
*ΧΡΕ.* οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμών — *ΚΑΡ.* τί δρῶ; λέγε.
*ΧΡΕ.* τοὺς ξυγγεώργους κάλεσον, εὑρήσεις δ' ἴσως
ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους,
ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν
ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
*ΚΑΡ.* καὶ δὴ βαδίζω· τουτοδὶ τὸ κρεᾴδιον
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
*ΧΡΕ.* ἐμοὶ μελήσει τοῦτό γ'· ἀλλ' ἀνύσας τρέχε.
σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,

ADNOTATIO CRITICA.

v. 216 χρῇ Cobetus. — v. 220 *πονηρούς* Brunckius. — v. 227 *τουτοδὶ τὸ κρεᾴδιον* Elmsleius.

SCRIPTURAE DISCREPANTIA.

vv. 215, 216, 217 om. *R* in margine superiore add. $R^2$ ‖ v. 215 ὁρᾶτε —] ὁρᾶτε: $R^2$ ὁρᾶτε. *VU* ὁρᾶτε; *A* | ὦγαθέ] ὦ ''γαθέ *V* ὦ 'γαθέ *AU* ‖ v. 216 εὖ] εὖ *U* | κἂν] κ' ἂν $R^2$ καὶ *V* κεἰ *A* κ' ει *U* | χρῇ] δεῖ $R^2$ *VAU* ‖ v. 217 αὐτὸς] αὐτὸς ^ἐγὼ^ *V* | *ΚΑΡ.*] Θε. $R^2$ supra versum adscr. *V* | κἂν] κ' ἀν $R^2$ κὰν *V* | βούλῃ] βούλει $R^2$ ‖ v. 218 *ΧΡΕ.*] om. *R* | χἄτεροι] χάτεροι corr. ex χάρτεροι *R* χἄτεροι est in *V* χ' ἅτεροι *AU* | νῷν] νῶϊν *VA* ‖ v. 219 ἦν] ἦν *R* ‖ v. 220 παπαῖ] corr. ex παπαὶ *R* παπαὶ est in *VAU* πονηρούς] πονήρους *RV* πονηρούς minio mut. in πονήρους in *A* συμμάχους] ξυμμάχους *AU* ‖ v. 221 οὔκ] οὐκ' *R* ουκ *A* οὐκ *U* ἤν] ἤν *R* | ἐξ ἀρχῆς] ἐξαρχῆς *R* ‖ v. 222 ἀλλ' ^ἄπιθι^ ἴθι *U* | δραμών —] δραμών. *RU* δραμὼν: *V* δραμὼν, *A* | *ΚΑΡ.*] Θε. *R* supra versum adscr. κ^α^ *V* (hoc loco est κ^α^/ pro Θ^ε^/ in *A* vid. ad v. 1) ‖ v. 223 ξυγγεώργους] ξυγγεωργοὺς *R* corr. $R^2$ ‖ v. 224 τοῖς] τοῖσιν *AU* ‖ v. 225 ἴσον] supra versum adscr. *U* ἶσον est in *R* ‖ v. 226 μετάσχῃ] corr. ex μετάσχει *R* ‖ v. 227 *ΚΑΡ.*] Θε/ *R* | τουτοδὶ] τουτο δὴ (lemma schol. τοῦτο δὴ) *R* τοῦτο δὴ *V* τοῦτο δὲ *AU* κρεᾴδιον] κρεάδιον codd. ‖ v. 228 ἔνδοθέν τις] ἔνδοθεν τίς *VA* εἰσενεγκάτω] εἰς ἐνεγκάτω *R* | λαβών] παρών *V* ‖ v. 230 ὦ] ὃ *U* ‖

εἴσω μετ᾽ ἐμοῦ δεῦρ᾽ εἴσιθ᾽· ἡ γὰρ οἰκία
αὕτη ᾽στὶν ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποιῆσαι καὶ δικαίως κἀδίκως.
*ΠΛ.* ἀλλ᾽ ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς
εἰς οἰκίαν ἑκάστοτ᾽ ἀλλοτρίαν πάνυ·
ἀγαθὸν γὰρ ἀπέλαυσ᾽ οὐδὲν αὐτοῦ πώποτε.
ἢν μὲν γὰρ ὡς φειδωλὸν εἰσελθὼν τύχω,
εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος
αἰτῶν λαβεῖν τι σμικρὸν ἀργυρίδιον,
ἔξαρνός ἐστι μηδ᾽ ἰδεῖν με πώποτε.
ἢν δ᾽ ὡς παραπλῆγ᾽ ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος
γυμνὸς θύραζ᾽ ἐξέπεσον ἐν ἀκαρεῖ χρόνου.
*ΧΡΕ.* μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ᾽ ἀεί.
χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνὴρ
πάλιν τ᾽ ἀναλῶν, ἡνίκ᾽ ἂν τούτου δέῃ.
ἀλλ᾽ εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ. *ΠΛ.* πείθομαι.

ADNOTATIO CRITICA.

v. 237 ὡς Iuntina. — v. 244 χρόνου Etym. M. — v. 246 πώς Hemsterhusius.

SCRIPTURAE DISCREPANTIA.

v. 231 ἐμοῦ] ἐμὲ *R* ‖ v. 232 αὕτη ᾽στὶν] αὕτη στιν· *R* αὕτη ᾽στιν· *VA* αὕτ᾽ ἔστιν *U* | τήμερον] σήμερον *A* ‖ v. 233 ποιῆσαι] ποῆσαι· *R* | κἀδίκως] κ᾽ ἀδίκως *R* ‖ v. 234 ἄχθομαι] ἄχθομαι *U* (άχθομαι *V*) | θεοὺς] θεούς *V* ‖ v. 237 ἢν] ἢ̃ν *R* ἠν *V* εἰ *A* | ὡς] εἰς codd. ‖ v. 239 κἄν] κάν *R* | προσέλθῃ] προσέλθῃς *U* ‖ v. 240 τι] τί *RA* | τί λαβεῖν tr. *A* | σμικρὸν] (sic *V*) μικρὸν *RAU* ‖ v. 241 ἔξαρνός ἐστι] ἔξαρνος ἐστὶ *V* | μηδ᾽] μὴδ᾽ codd. ‖ v. 242 ἢν] ἢ̃ν *R* ἠν *V* | ὡς] εἰς *V* ‖ v. 243 κύβοισι] κύβοις *V* | παραβεβλημένος] ras. corr. ex παρακεκλημένος *R* ‖ v. 244 θύραζ᾽] θύραζε *V* | ἐξέπεσον] ἔπεσον *AU* | χρόνου] χρόνῳ corr. ex χθρόνῳ *R* χρόνῳ est in *V* χρόνω in *AU* ‖ v. 245 *ΧΡΕ.*] om. *A* adscr. $A^2$ | οὐκ] om. *V* | πώποτε] οὐδὲ πώποτε *V* ‖ v. 246 τοῦ τρόπου] τρόπου *R* | πώς εἰμ᾽] πῶς εἶμ᾽ codd. ‖ v. 247 τε] τὲ *VA* ‖ v. 248 τ᾽ ἀναλῶν,] τἀναλῶν *A* ‖ v. 249 σε] (sic *V*) σὲ *RAU* ‖ v. 251 μάλιστα om.

*ΧΡΕ.* τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;
*ΚΑΡ.* ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταὐτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί,
ἴτ' ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.
*ΚΟΡ.* οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη;
σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, καὶ ταῦτα πρὶν φράσαι μοι
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.
*ΚΑΡ.* οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
ὁ δεσπότης γάρ φησιν ὑμᾶς ἡδέως ἅπαντας
ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
*ΚΟΡ.* ἔστιν δὲ δὴ τί καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν;

---

ADNOTATIO CRITICA.

v. 257 *οὔκουν* Berglerus — versui Corphaei (pro Chori) notam praefixi, id quod posthac non adnotabo. — v. 259 *καὶ ταῦτα πρὶν* tr. Dindorfius. — v. 261 *οὔκουν* Brunckius.

---

SCRIPTURAE DISCREPANTIA.

*R* add. in margine *R*² | *ΠΛ.*] supra versum adscr. *V* ‖ v. 252 *ΧΡΕ.*] om. *R* | *τί*] *τίς* *V* | *τἀληθῆ*] *τ' ἀληθῆ* *R* ‖ v. 253 *ΚΑΡ.*] ☧ *R* *Θερ.* adscr. *R*² sed deletum est. ad ϰ͂ adscr. *πρὸς τὸν χορὸν τῶν γεωργῶν* in *V* | *πολλὰ*] *πολὰ* (sic) [*πολλάκις* supra] *U* | *ταὐτὸν*] *ταυτὸν* codd. ‖ v. 255 *σπεύδεθ',*] *καὶ σπεύδεθ'·* (erasis *αι* litteris in *καὶ*) *V* *σπεύδεθ'*, corr. ex *σπεύθδεθ'*, *R* | *ὡς ὁ καιρὸς*] *ὡς καιρὸς* *R* corr. *R*³ *οὐ γὰρ καιρὸς* est in *V* ‖ v. 256 *παρόντ'*] *παρόντας* *RAU* ‖ v. 257 *ΚΟΡ.*] om. *R* ☧ *εκ γερ* adscr. in margine *R*³ *χορὸς* variis compendiis pictum est in *VAU* | *οὔκουν*] *οὐκ' οὖν* *R* *οὐκ οὖν* *V* *οὐκοῦν* *AU* | *ἡμᾶς ὁρμωμένους* tr. *U* | *προθύμως*] *προθύμους* *A* ‖ v. 258 *εἰκός ἐστιν*] *εἰκὸς* *R* *εἰκὸς ἐστὶν* *V* ‖ v. 259 *καὶ ταῦτα πρὶν*] *πρὶν ταῦτα καὶ* codd. | *φράσαι μοι*] *φράσαί μοι* *R* ‖ v. 260 *μ' ὁ δεσπότης*] *χ' ὡ δεσπότης* *AU* | *κέκληκε δεῦρο*] *κέκληκεν ἡμᾶς* *AU* ‖ v. 261 *ΚΑΡ.*] *Θε/* ab hoc versu ubique fere (sed vid. 770 alios) pro Carione habet *R* quoque, id quod postea non iam adnotabo ‖ *οὔκουν*] *οὐκ' οὖν* *R* *οὐκοῦν* *VAU* | *λέγω*] corr. ex *λεγὼ* *R* | *σὺ*] *σοι* *R* *συ* *V* *σύ* *A* ‖ vv. 262 et 263 om. *V* in margine add. *V*³ ‖ v. 262 *γάρ φησιν*] *γὰρ φησὶν* *R* ‖ v. 264 *ΚΟΡ.*] *χορὸς* codd. | *δὴ τί*] *δῆ τι* *R* corr. in *δὴ τί* *R*³ *δή τι* est in *V* *δὴ τί·* *A* | *πρᾶγμα*] *πράγμα* *U* | *ὅ φησιν;*] *ὁ φησιν·* *R* *ὃ φησίν·* *VA*

*ΚΑΡ.* ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν᾽, ὦ πονηροί,<br>
ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν·<br>
οἶμαι δὲ νὴ τὸν οὐρανὸν καὶ χωλὸν αὐτὸν εἶναι.<br>
*ΚΟΡ.* ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.<br>
δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.<br>
*ΚΑΡ.* πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ᾽ ἔχοντα σωρόν.<br>
*ΚΟΡ.* μῶν ἀξιοῖς φενακίσας μ᾽ ἔπειτ᾽ ἀπαλλαγῆναι<br>
ἀζήμιος, καὶ ταῦτ᾽ ἐμοῦ βακτηρίαν ἔχοντος;<br>
*ΚΑΡ.* πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα<br>
ἡγεῖσθέ μ᾽ εἶναι κοὐδὲν ἂν νομίζεθ᾽ ὑγιὲς εἰπεῖν;<br>
*ΚΟΡ.* ὡς σεμνὸς οὑπίτριπτος· αἱ κνῆμαι δέ σου βοῶσιν<br>
ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.<br>
*ΚΑΡ.* ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζει,<br>
σὺ δ᾽ οὐ βαδίζεις; ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.<br>
*ΚΟΡ.* διαρραγείης. ὡς μόθων εἶ καὶ φύσει κόβαλος,

---

ADNOTATIO CRITICA.

v. 265 *πονηροί* Dindorfius. — v. 266 *χωλὸν* e coniectura scripsi. — v. 271 *μ᾽ ἔπειτ᾽* Meinekius.

---

SCRIPTURAE DISCREPANTIA.

(hoc corr. minio ex *φησίν* in *A*) *ὅ φησι U* ‖ v. 265 *τιν᾽*] *τίν᾽ RAU* om. *V* | *πονηροί*] *πόνηροι* codd. ‖ v. 266 *ῥυπῶντα,*] *ρυπῶντα R* | *ῥυσόν*] *ῥυσσὸν A ρυσόν U* ‖ v. 267 *οἶμαι δὲ*] *οἶ με δὲ* (in ras. *με* et *δὲ*) *U* | *χωλὸν*] *ψωλὸν* codd. ‖ v. 268 *ΚΟΡ.*] *χορὸς* codd. | *χρυσὸν*] corr. ex *χρυσῶν R* accentum supra *ὀ* in ras. pinxit $V^2$ | *ἀγγείλας*] *ἀγγεῖλας R* | *φῄς*] *φῂς RV φὴς A* | *πάλιν*] *πάλαι U* | *μοι*] om. *R* ‖ v. 269 *δηλοῖς*] *δειλοῖς U* | *ἥκειν*] *ἡκειν*
*φέροντα*
*R* | *ἔχοντα*] *ἔχαντα U* ‖ v. 270 *σωρόν*] corr. ex *σωρ᾽ ὄν V* ‖ v. 271 totum versum in contextu omissum adscr. in marg. *R* | *ΚΟΡ.*]
*μὴ οὖν*
*χορὸς* codd. | *μῶν*] *μῶν V* | *μ᾽ ἔπειτ᾽*] *ἡμᾶς RA ἔπειτ᾽ V ἡμὰς U* ‖ v. 273 *φύσει*] om. *V* | *εἰς*] *ἐς V* ‖ v. 274 *ἡγεῖσθέ*] *ἡγεισθαι R ἡγεῖσθαι A* | *κοὐδὲν*] *κ᾽ οὐδὲν R* | *νόμιζεθ᾽*] *νομίζεσθ᾽ R* | *ὑγιὲς*] *ὑγειὲς U* ‖ v. 275 *ΚΟΡ.*] *χορὸς* codd. | *οὑπίτριπτος*] *οὐπί. τριπτος VA* | *βοῶσιν*] *βοῶσι A* ‖ v. 276 *ἰοὺ ἰού,*] *ἰού ἰού, R ἰοὺ ἰοὺ VA* ‖ v. 277 *σορῷ*] *σωρῷ* (*ο* supra *ω*) (lemma scholii *σορῷ*) *R* | *λαχὸν*]
*ζ*
*λαχὼν V* corr. $V^2$ | *γράμμα*] *γρᾶμμα V* | *δικάζει*] *δικάδει R δικάζειν VAU* ‖ v. 278 *ξύμβολον δίδωσιν*] *ξύμβολον δίδωσι RA ξύμβολόν σοι δίδωσι VU* ‖ v. 279 *ΚΟΡ.*] *χορὸς* codd. | *εἶ*] om. *R* | *φύσει*]

ὅστις φενακίζεις, φράσαι δ' οὔπω τέτληκας ἡμῖν
[ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο·]
οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.
ΚΑΡ. ἀλλ' οὐκέτ' ἂν κρύψαιμι. τὸν Πλοῦτον γάρ, ὦνδρες, ἥκει
ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει.
ΚΟΡ. ὄντως γὰρ ἔστι πλουσίοις ἡμῖν ἅπασιν εἶναι;
ΚΑΡ. νὴ τοὺς θεούς, Μίδαις μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.
ΚΟΡ. ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.
ΚΑΡ. καὶ μὴν ἐγὼ βουλήσομαι θρεττανελὸ τὸν Κύκλωπα
μιμούμενος καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. ἀλλ' εἶα τέκεα θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη,
ἕπεσθ' ἀπεψωλημένοι· τράγοι δ' ἀκρατιεῖσθε.

---

ADNOTATIO CRITICA.

v. 281 spurium esse intellexit Bergkius. — v. 286 ἡμῖν Brunckius. — v. 287 Μίδαις Kusterus.

---

SCRIPTURAE DISCREPANTIA.

φυσι R | κόβαλος] corr. ex κόβαλλος R ex κώβαλος V ‖ v. 281 versum omm. RV ‖ v. 282 οἳ] οἵ V | (οὐκ' ut ubique fere, id quod non adnotavi neque adnotabo R) ‖ v. 283 ῥίζας θύμων tr. A ‖ v. 284 οὐκέτ'] οὐκ ἔτ V | κρύψαιμι] κρύψαιμι (οι supra) U | ὦνδρες] ὤνδρες R ὦ ''νδρες A | ἥκει] ήκει R ‖ v. 285 ἄγων] φέρων V | ὑμᾶς] ἡμᾶς R | ποιήσει] ποήσει RV ‖ v. 286 ΚΟΡ.] χορὸς codd. | γὰρ ἔστι] γὰρ ἐστὶ RV γάρ ἐστι AU | ἡμῖν ἅπασιν] ἅπασιν ἧμιν RAU ἧμιν ἅπασιν V ‖ v. 287 Μίδαις] μίδας codd. | ἢν] ἠν V | λάβητε] corr. ex λάβηται R ‖ v. 288 ΚΟΡ.] χορὸς codd. | ἥδομαι] ήδομαι R ‖ v. 289 εἴπερ] εἶπερ R | ὄντως] omm. RV ‖ v. 290 ΚΑΡ.] om. R Θε/ add. $R^2$ | ἐγὼ] ἔγωγε V | θρεττανελὸ] θρεττανελο R θρεττανελῶ (ὸ supra) A ‖ v. 291 παρενσαλεύων] παρασαλεύων AU ‖ v. 292 εἶα] εἷα R εἴα A | θαμίν'] θαμῖν' RV | ἐπαναβοῶντες] ἐπ ἀναβοῶντες R ‖ v. 293 τε] τέ A ‖ v. 294 αἰγῶν τε anteced. versui contin. V | κιναβρώντων] corr. ex κιναβρῶντων R κιναυρώντων est in A ‖

*ΚΟΡ.* ἡμεῖς δέ γ' αὖ ζητήσομεν θρεττανελὸ τὸν Κύκλωπα
βληχώμενοι, σε τουτονὶ πινῶντα καταλαβόντες,
πήραν ἔχοντα λάχανά τ' ἄγρια δροσερά, κραιπαλῶντα
ἡγούμενον τοῖς προβατίοις,
εἰκῆ δὲ καταδαρθόντα που,
μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι.

*ΚΑΡ.* ἐγὼ δὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν ὡς ὄντας κάπρους
μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐτοῖς,
μιμήσομαι πάντας τρόπους·
ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρὶ χοῖροι.

*ΚΟΡ.* οὐκοῦν σε τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν
καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους,
λαβόντες ὑπὸ φιληδίας

---

ADNOTATIO CRITICA.

v. 297 fortasse pro *βληχώμενοι* scribendum est: *μιμούμενον — πινῶντα* Brunckius. — v. 300 *καταδαρθόντα* Porsonus.

---

SCRIPTURAE DISCREPANTIA.

v. 296 *ΚΟΡ.*] *χορὸς* codd. | *δέ γ' αὖ*] *δέ γ' αὖ γε* *U* | *θρεττανεηλὸ*] *θρεττανελὼ* *A* et lemma sch. in *R* ‖ v. 297 *βληχώμενοι,*] *βληχώμενόν* *V* | *σε*] *σὲ* *RAU* *τε* *V* | *πινῶντα*] *πεινῶντα* codd. ‖ v. 298 *πήραν*] corr. ex *πεῖραν* (*πῆραν* lemma sch.) *R* *πῆραν* *V* | *λάχανά τ' ἄγρια*] *λάχανα τἄγρια* *RV* *λάχαν' ἄγρια* *A* | *δροσερα* (sic) *κραιπαλῶντα* om. *R* adscr. $R^2$ | *κραιπαλῶντα*] *καὶ κραιπαλῶντα* *VAU* ‖ v. 300 *εἰκῇ*] (sic *R*) *εἰκῆ* *VAU* | *καταδαρθόντα*] *καταδραθέντά* corr. ex *καταδαρθεντά* $R^2$ aut $R^3$ *καταδαρθέντα* est in *VU* *καταδαρθέντὰ* in *A* ‖ v. 301 *ἡμμένον*] omm. *RV* ‖ v. 302 *γε*] om. *R* ‖ v. 303 *ἣ*] *ἢ* *R* | *ποτ'*] *πότ'* *RVA* ‖ v. 305 *μεμαγμένον*] corr. ex *μομαγμένον* ut vid. in *V* | *σκῶρ*] corr. ex *σκῶρ'* in *R* *σκῶρ'* est in *V* | *αὐτὴ*] *αὐτῆ* *R* *αὕτη* *V* | *δ'*] *δὲ* *R* | *ματτεν αὐτοῖς*, inseq. vers. add. *V* ‖ v. 306 *τρόπους*] *τοὺς τρόπους* quae vocc. unum versum efficiunt *V* ‖ v. 307 *γρυλίζοντες*] *γρυλλίζοντες* *RAU* | *φιληδίας*] *φηληδίας* corr. ex *φηλιδίας* *R* ‖ v. 308 *μ* in *μητρὶ*] corr. ex *ο* in *V* | *χοῖροι*] corr. ex *χοίροι* *R* ‖ v. 309 *ΚΟΡ.*] *χορὸς* codd. | *οὐκοῦν*] *οὐκ οὖν* *V* | *σε*] (sic codd.) | *τὰ*] corr. ex *τά* *V* (*τα* est in *R*) | *φάρμακ' ἀνακυκῶσαν*] *φάρμακα κυκῶσαν* *ἑτάρους διὰ τὸ μέτρον* *A* ‖ v. 310 *ἑταίρους*] *ἑταίρους ἢν* *A* *ἑτάρους ἢν* *U* ‖ v. 311 *λαβόντες*] *ἢν λάβωμεν* sed in margine: *τὸ ἑξῆς οὐκοῦν σε λαβόντες*

τὸν Λαρτίου μιμούμενοι 'κ τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ' ὥσπερ τράγου
τὴν ῥῖνα· σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς·
ἕπεσθε μητρὶ χοῖροι.

*ΚΑΡ.* ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς ἐπ' ἄλλ' εἶδος τρέπεσθ',
ἐγὼ δ' ἰὼν εἴσω λάθρα
βουλήσομαι τοῦ δεσπότου
λαβών τιν' ἄρτον καὶ κρέας
μασώμενος τὸ λοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.

(ὄρχημα χοροῦ.)

*ΧΡΕ.* χαίρειν μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
ἀσπάζομαι δ', ὁτιὴ προθύμως ἥκετε
καὶ συντεταμένως κοὐ κατεβλακευμένως.
ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
ἔσεσθε καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.

---

ADNOTATIO CRITICA.

v. 312 'κ τῶν Cobetus. — v. 318 εἴσω Bambergius. — post v. 321 adieci: ὄρχημα χοροῦ (pro vulg. *ΧΟΡΟΥ*), choro enim in Pluto praeter vv. 637, 639 et 40 et paucos, qui exciderint, in exitu comoediae versus nullae in agendo partes fuisse videntur.

---

SCRIPTURAE DISCREPANTIA.

κρεμῶμεν *V* λάβωμεν *AU* | φιληδίας] φηλιδίας *R* ‖ v. 312 Λαρτίου] λαερτίου *RV* λἀρτίου *A* | 'κ τῶν ὄρχεων] τῶν ὄρχεων *RAU* τῶν ὀρχέων *V* | τὸν λαερτίου μιμούμενοι· verba post τῶν ὀρχέων κρεμῶμεν· collocata et haec (τ. ὀ. κ.) anteced. vers. contin. sunt in *V* ‖ v. 313 μινθώσομέν θ'] μινθώσομεν δ *V* ‖ v. 314 τὴν] om. *R* | σὺ δ'] σὺ δ' ὥς *U* | Ἀρίστυλλος] αρίστυλος *V* ἀρίστυλος *U* | ἐρεῖς] corr. ex ἑρεῖς *V* ‖ v. 315 χοῖροι] corr. ex χοίροι in *V* ‖ v. 316 *ΚΑΡ.*] om. *R* | ἀλλ'] (sic *A*) om. *R* ἄγ *V* ἄγ' *U* | εἶα] εἴα *A* ‖ v. 317 ἐπ' ἄλλ'] ἐπάλλ' *R* | σθ' in τρέπεσθ' inseq. versui add. codd. | τρέπεσθ',] τρέπεθ (potest esse etiam τρέπεσθ sed illud verisimilius) *V* ‖ v. 318 εἴσω] ἤδη codd. | λάθρᾳ] λάθρα *VAU* ‖ v. 320 ἄρτον] ἀρτον corr. ex ἀρρτον *V* ‖ v. 321 μασώμενος] μασσώμενος *V* ‖ (ὄρχημα χοροῦ)] omm. codd. ‖ v. 322 ἐστιν] ἐστὶν *RV* | ὦνδρες] corr. ex ὦινδρες *R* ὦ ἄνδρες *A* ὦ 'νδρες *U* ‖ v. 324 ὁτιὴ] ὅτιὴ *RV* | ἥκετε] ἡκετε *R* ‖ v. 325 συντεταμένως] συντεταγμένως *RV* | κοὐ] κ' οὐ *R* | κατεβλακευμένως] καταβεβλακευμένως *V* ‖ v. 326 τἄλλα] τᾶλλα *V* ‖ v. 327 ὄντως] ὄντες *V* ὄντες (ως superscr. $U^2$) in *U* ‖

*ΚΟΡ.* θάρρει· βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη.
δεινὸν γάρ, εἰ τριωβόλου μὲν οὕνεκα
ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τἠκκλησίᾳ,
αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.
*ΧΡΕ.* καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα· δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος
ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.
*ΒΛΕ.* τί ἂν οὖν τὸ πρᾶγμα καὶ πόθεν; καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.
καίτοι λόγος γ' ἦν νὴ τὸν Ἡρακλέα πολὺς
ἐν τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμάσιον, ὅπως
χρηστόν τι πράττων τοὺς φίλους μεταπέμπεται.
οὔκουν ἐπιχώριόν γε πρᾶγμ' ἐργάζεται.
*ΧΡΕ.* ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ· νὴ τοὺς θεούς,
ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν,
ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.
*ΒΛΕ.* γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

---

ADNOTATIO CRITICA.

v. 335 τὸ πρᾶγμα καὶ πόθεν; Meinekius. — v. 338 ἐν Porsonus. — v. 339 ἀνὴρ Dindorfius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 328 *ΚΟΡ.*] om. *R* χορὸς est in reliquis codd. | βλέπειν] βλέπων *V* | Ἄρη] ἄρηι *V* ἄρην *U* ‖ v. 329 οὕνεκα] εἵνεκα *RV* ‖ v. 330 ὠστιζόμεσθ'] ὠστιζόμεθ' *VA* corr. *A*² | τἠκκλησίᾳ] τῆικκλησίᾳ *R* (τῆ^κ^κλησια lem. sch. in *R*) τῆι ἐκκλησίᾳ *V* τῇ ἐκκλησίᾳ *AU* ‖ v. 331 τω] τῷ *RVU* τω *A* ‖ v. 332 *ΧΡΕ.*] om. *R* | καὶ Βλεψίδημον] βλεψίδημον *U* | τουτονὶ] τοῦτονὶ corr. ex τοῦτονί *R* (τουτονί est in *A*) ‖ v. 333 ἐστὶν] ἔστιν *AU* | πράγματος] ras. corr. ex πράγματως ut vid. in *V* ‖ v. 335 πρᾶγμα] πρᾶγμ' εἴη *RV* πρᾶγμ' εἴη *AU* | τρόπῳ] τρόπω· *VA* ‖ v. 336 Χρεμύλος] χρεμῦλος *R* χρέμυλος *V* | πεπλούτηκ'] πεπλούτηκεν *V* | ἐξαπίνης] ἐξ ἀπίνης *V* ‖ v. 337 καίτοι] καί τοι *R* | γ'] om. *V* | Ἡρακλέα] ἡρακλεα *R* corr. *R*³ | πολὺς] πολύς· *V* (πολύς *A*) ‖ v. 338 ἐν] ἐπὶ (ἐπι *R*) codd. | κουρείοισι] ras. corr. ex κουρείαισι *V* ‖ v. 339 ἐξαπίνης] ἐξ ἀπίνης *V* | ἀνὴρ] ἀνηρ *R* ἀνὴρ *VAU* ‖ v. 340 ἔστιν] ἔστι *V* | θαυμάσιον] θαυμαστὸν *RAU* ‖ v. 341 τοὺς] corr. ex τοῦς *V* ‖ v. 342 γε] γε τι *R* τι *A* τὸ *U* ‖ v. 343 νὴ] μὰ *A* μα *U* | θεούς] mut. in θεοὺς in *RU* ‖

ΧΡΕ. ἔσομαι μὲν οὖν αὐτίκα μάλ᾽, ἢν θεὸς θέλῃ.
ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.
ΒΛΕ. ποῖός τις; ΧΡΕ. οἷος — ΒΛΕ. λέγ᾽ ἀνύσας ὅ τι
φῄς ποτε.
ΧΡΕ. ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί·
ἢν δὲ σφαλῶμεν, ἐπιτετρίφθαι τὸ παράπαν.
ΒΛΕ. τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον,
καί μ᾽ οὐκ ἀρέσκει. τό τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν, τό τ᾽ αὖ δεδοικέναι
πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ᾽ εἰργασμένου.
ΧΡΕ. πῶς οὐδὲν ὑγιές; ΒΛΕ. εἴ τι κεκλοφὼς νὴ Δία
ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον
παρὰ τοῦ θεοῦ, κᾄπειτ᾽ ἴσως σοι μεταμέλει.
ΧΡΕ. Ἄπολλον ἀποτρόπαιε, μὰ Δί᾽ ἐγὼ μὲν οὔ.
ΒΛΕ. παῦσαι φλυαρῶν, ὦγάθ᾽· οἶδα γὰρ σαφῶς.
ΧΡΕ. σὺ μηδὲν εἰς ἔμ᾽ ὑπονόει τοιουτονί.
ΒΛΕ. φεῦ·
ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός,
ἀλλ᾽ εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
ΧΡΕ. οὔ τοι μὰ τὴν Δήμητρ᾽ ὑγιαίνειν μοι δοκεῖς.

ADNOTATIO CRITICA.

v. 361 τοιουτονί. | ΒΛΕ. φεῦ· Porsonus.

SCRIPTURAE DISCREPANTIA.

v. 347 μάλ᾽ ἢν] μᾶλλον ἢν V ‖ v. 348 τις] omm. VA ‖ v. 349 ποῖός τις] ποῖος τίς VU | οἷος —] οἷος· RVAU | ΧΡΕ.] et ΒΛΕ.] supra versum adscr. V | φῄς] φὴς AU | ποτε.] ποτέ: A ποτὲ U ‖ v. 350 ΧΡΕ.] om. A | ἢν] ἢ̓ν R ἢ᾽ν (ras. est supra η) V | μὲν] μὲν γὰρ V | κατορθώσωμεν] ras. corr. ex κατωρθώσωμεν in V ‖ v. 351 ἢν] ἢ̓ν R | τὸ παράπαν.] το παράπαν A ‖ v. 352 τουτὶ] τοῦτί R τουτί A ‖ v. 354 ὑπερπλουτεῖν] ὑπὲρ πλουτεῖν V | τότ᾽ αὖ] τότε δ᾽ αὖ R τότ αὖ V τό, τ᾽ αὖ A ‖ v. 355 ἐστ᾽] ἔστ᾽ codd. | εἰργασμένου] εἰργασμένον R ειργασμένου corr. ex ειργασμένον V ‖ v. 356 πῶς] πῶς οὖν V | ΒΛΕ.] supra versum adscr. V | εἴ] εἶ R ‖ v. 357 ἥκεις] ἤκεις R ‖ v. 358 παρὰ τοῦ anteced. versui contin. V | κᾄπειτ᾽] ras. corr. ex κᾄπειθ᾽ R ‖ v. 360 ὦγάθ᾽] ὦγαθέ V ὦ ᾽γαθὲ AU ‖ v. 361 σὺ] σύ A | (μὴδὲν ubique fere R, id quod postea non iam adnotabo) | τοιουτονί] τοιοῦτο corr. ex τοιοῦτον R τοιοῦτο est in VU τοιοῦτον A ‖ v. 362 ΒΛΕ. φεῦ (sic RAU) ΒΛΕ. φεῦ ὡς (sic V) anteced. versui adiciunt codd. | ὑγιές] corr. ex ὑγιὲς A | ἐστιν] ἐστὶν RU ἔστ᾽ V ‖ v. 364 Δήμητρ᾽] δήμητραν V ‖

*ΒΛΕ.* ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων.
*ΧΡΕ.* μελαγχολᾷς, ὤνθρωπε, νὴ τὸν οὐρανόν.
*ΒΛΕ.* ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν μένει
ἀλλ' ἐστὶν ἐπίδηλόν τι πεπανούργηχ' ὅτι.
*ΧΡΕ.* σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος
ζητεῖς μεταλαβεῖν. *ΒΛΕ.* μεταλαβεῖν ζητῶ; τίνος;
*ΧΡΕ.* τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
*ΒΛΕ.* μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; *ΧΡΕ.* κακοδαιμονᾷς.
*ΒΛΕ.* ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
*ΧΡΕ.* οὐ δῆτ' ἔγωγ'. *ΒΛΕ.* ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλει φράσαι.
*ΧΡΕ.* κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
*ΒΛΕ.* ὦ τᾶν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
*ΧΡΕ.* καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς νὴ τοὺς θεοὺς
τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.
*ΒΛΕ.* ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,

---

ADNOTATIO CRITICA.

v. 365 εἶχεν Brunckius. — v. 368 πεπανούργηχ' ὅτι Bergkius. — v. 374 ἂν Kusterus. — v. 375 ἐθέλει secundum Dindorfium duo codices Mutinenses.

---

SCRIPTURAE DISCREPANTIA.

v. 365 εἶχεν] εἶχες *R* εἶχε *VAU* ‖ v. 366 ὤνθρωπε] ὤνθρωπε *R* ἀνθρωπε *VA* ὦ "νθρωπε *U* ‖ v. 367 μένει] ἔχεις *RV* sed in marg. γρ. μένει *V* ἔχει *AU* ‖ v. 368 ἐστὶν] ἔστιν codd. | πεπανούργηχ' ὅτι] πεπανουργευκότι *R* πεπανουργηκότι *VAU* ‖ v. 369 *ΧΡΕ.*] om. *U* | τι] τί *RA* ‖ v. 370 *ΒΛΕ.*] supra versum adscr. *V* ‖ v. 371 τὸ δ'] τόδ' codd. ‖ v. 372 *ΧΡΕ.*] supra versum adscr. *V* ‖ v. 373 μὴν ἀπεστέρηκάς γ'] μήν γ ἀπεστέρηκας γ' *V* ‖ v. 374 ἔγωγ'] ἔγωγε *RU* | *ΒΛΕ.*] supra versum adscr. *V* | ὦ] ὦ *A* | ποῖ τις ἂν] ποῖ τίς οὖν *RU* ποῖ τις οὖν *V* ποῖ περ οὖν *A* ‖ v. 375 τἀληθὲς] τ' ἀληθὲς *U* | ἐθέλει] ἐθέλεις codd. | φράσαι] corr. ex φρᾶσαι *R* ‖ v. 376 πρᾶγμά] πράγμά *R* (πρᾶγμα *VA*) ‖ v. 377 τᾶν] (sic *VAU*) τάν *R* | σοι] (sic *RVAU*) | τοῦτ'] ταῦτ' *V* | ἀπὸ] αὐτὸ *R* corr. $R^2$ | πάνυ] πάνυ· *R* πάνυ mut. in πάνυ, $A^2$ ‖ v. 378 διαπρᾶξαι] διαπράξασθαι *V* διαπράξαι *U* ‖ post v. 378 unius versus spat. rel. in *A* ‖ v. 379 κέρμασιν] κέρμασι *VU* ‖ v. 380 φίλως] φίλος *V* φίλῶς *U* | δοκεῖς] δοκῆις *R* δοκῇς *V* | θεοὺς] θεοὺς· corr. ex θεούς· *R* ‖ v. 381 μνᾶς] μνὰς *V* ‖ v. 382 τιν']

ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικός, κοὐ διοίσοντ' ἄντικρυς
τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου.
ΧΡΕ. οὔκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
ἔγωγε καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
ἀπαρτὶ πλουτῆσαι ποιήσω. ΒΛΕ. τί σὺ λέγεις;
οὕτω πάνυ πολλὰ κέκλοφας; ΧΡΕ. οἴμοι τῶν κακῶν,
ἀπολεῖς — ΒΛΕ. σὺ μὲν οὖν σεαυτόν, ὥς γ' ἐμοὶ
δοκεῖς.
ΧΡΕ. οὐ δῆτ', ἐπεὶ τὸν Πλοῦτον, ὦ μοχθηρὲ σύ,
ἔχω. ΒΛΕ. σὺ Πλοῦτον; ποῖον; ΧΡΕ. αὐτὸν τὸν
θεόν.
ΒΛΕ. καὶ ποῦ 'στιν; ΧΡΕ. ἔνδον. ΒΛΕ. ποῦ; ΧΡΕ. παρ' ἐμοί.
ΒΛΕ. παρὰ σοί; ΧΡΕ. πάνυ.

---

SCRIPTURAE DISCREPANTIA.

τίν' *RV* | καθεδούμενον] καθευδούμενον *R* ‖ v. 383 ἱκετηρίαν] corr. ex ἱκετήριαν in *V* | v. 384 κοὐ διοίσοντ'] κ' οὐ διοίσοντ' *R* οὐ δι οἴσοντ *V* ‖ Ἡρακλειδῶν] ras. corr. ex ἡρακκλειδῶν ut vid. in *R* | οὐδ' ὁτιοῦν] οὐδ' ὅτιοῦν *R* οὐδοτιοῦν *V* ‖ v. 386 οὔκ] οὔκ' corr. ex οὐκ' in *R* | τοὺς] τούς γε *U* ‖ v. 387 δεξιοὺς] δικαίους *R* | καὶ] καὶ τοὺς *V* ‖ v. 388 ποιήσω.] ποήσω: *V* ‖ vv. 388 med. usque ad 401 ita disponuntur: ΒΛΕ. τί . . . . . κέκλοφας; | ΧΡΕ. οἴμοι . . . . . ἀπολεῖς. | ΒΛΕ. σὺ μὲν . . . . . δοκεῖς. | οὐ δῆτ' . . . . . σύ, | ἔχω . . . . . ποῖον; | ΧΡΕ. αὐτὸν . . . . . 'στιν; | ΧΡΕ. ἔνδον . . . . . ἐμοί. | ΒΛΕ. παρὰ σοί; . . . . . πάνυ. | ΒΛΕ. οὐκ . . . . . παρὰ σοί; | ΧΡΕ. νὴ . . . . . ἀληθῆ; | ΧΡΕ. φημί . . . . . Ἑστίας; | vv. 396, 97, 98 ut in contextu | v. 399 ΧΡΕ. οὐκ . . . . . τούτῳ. | ΒΛΕ. τί . . . . . μεταδοῦναι; | ΧΡΕ. μὰ . . . . . τί; | *U* ‖ v. 389 πάνυ] om. *V* | πολλὰ] om. *U* | κέκλοφας;] κεκλοφας: *V* | ΧΡΕ.] supra versum adscr. *V* ‖ v. 390 ΒΛΕ.] supra versum adscr. *V* | ἀπολεῖς —] ἀπολεῖς. codd. ‖ σεαυτόν,] σαυτὸν *V* (σεαυτὸν, *R*) | γ' ἐμοὶ] γ' εμοὶ corr. ex γ' ἑμοι *R* γε μοι est in *A* mut. in γ' ἐμοι $A^2$ ‖ v. 391 ἐπεὶ] ἐπειδὴ *RU* (ἐπει *V*) | μοχθηρὲ] μόχθηρε codd. | σύ,] σὺ· corr. ex σύ· *R* (σὺ, est in *U* σύ *VA*) ‖ v. 392 ἔχω] Βλ^ε/ ἔχω· *R* del. Βλ^ε/ $R^2$ | ἔχω· anteced. versui contin. *V* | ΒΛΕ.] om. *R* inseruit $R^2$ | ποῖον;] ποῖον· *R* ποῖον· ras. mut. ex ποῖον; *V* ὁποῖον· est in *AU* ‖ v. 393 ποῦ 'στιν;] πούστιν'· *R* ποῦστιν· *V* | ΧΡΕ.] ΒΛΕ.] ΧΡΕ.] ΒΛΕ.] supra versum adscr. *V* | παρ' ἐμοί] παρεμοί (ut permultis locis, id quod non adnotabo) *R* ‖ ΒΛΕ.] ante παρὰ et ΧΡΕ.] ante πάνυ· supra versum adscr. *R* | σοί;] σοί· *R* σοὶ, *VA* σοὶ *U* | ΧΡΕ. πάνυ; (sic) insequenti vers. add. *V* ‖ notas perss. in mediis vv. 394

ΒΛΕ. οὐκ ἐς κόρακας; Πλοῦτος παρὰ σοί; ΧΡΕ. νὴ τοὺς
θεούς.
ΒΛΕ. λέγεις ἀληθῆ; ΧΡΕ. φημί. ΒΛΕ. πρὸς τῆς Ἑστίας;
ΧΡΕ. νὴ τὸν Ποσειδῶ. ΒΛΕ. τὸν θαλάττιον λέγεις;
ΧΡΕ. εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
ΒΛΕ. εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
ΧΡΕ. οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ. ΒΛΕ. τί φῄς;
ΧΡΕ. ἐν τῷ μεταδοῦναι, μὰ Δία. δεῖ γὰρ πρῶτα —
ΒΛΕ. τί;
ΧΡΕ. κλέψαι ποιῆσαι — ΒΛΕ. νώ; τίνα βλέψαι; φράσον.
ΧΡΕ. τὸν Πλοῦτον ὥσπερ πρότερον ἑνί γέ τῳ τρόπῳ.
ΒΛΕ. τυφλὸς γὰρ ὄντως ἐστί; ΧΡΕ. νὴ τὸν οὐρανόν.
ΒΛΕ. οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.
ΧΡΕ. ἀλλ' ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
ΒΛΕ. οὔκουν ἰατρὸν εἰσάγειν ἐχρῆν τινα;
ΧΡΕ. τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
οὔτε γὰρ ὁ μισθὸς οὐδὲν ἔστ' οὔθ' ἡ τέχνη.

---

ADNOTATIO CRITICA.

v. 400 *ΧΡΕ. ἐν τῷ μεταδοῦναι, μὰ Δία.* Bambergius. — v. 401 *ποιῆσαι ΒΛΕ. νώ; τίνα* C. F. Hermannus. — v. 406 *οὔκουν* Brunckius. — nescio an v. 409 *ΒΛΕ. σκοπῶμεν κ. τ. λ.* collocandus sit ante v. 408 *οὔτε γὰρ κ. τ. λ.*

SCRIPTURAE DISCREPANTIA.

usque ad 400 incl. supra versum adscr. *V* ‖ v. 395 *Ἑστίας;*] *εστίας· R* ‖ v. 396 *θαλάττιον*] *θαλάσσιον A* | in marg. iuxta hunc versum est: *γρ. βοιώτιον λέγεις: V* ‖ v. 397 *ἔστιν*] *εστὶν V* (*ἔστιν R*) | *Ποσειδῶν,*] *πωσειδῶν R* | *ἕτερον.*] *ἑτερον λέγω· R ἕτερον λέγω· VU* ‖ v. 398 *εἶτ'*] *εἶτ' R* ‖ v. 399 *ἔστι πω*] *ἐστί πω R ἐστί πω A* | *πράγματ'*] *πράγματα* (cum lemmate scholii) *R* | *τί φῄς;*] *τί φῄς· VA τίς φῄς U* ‖ v. 400 *ΧΡΕ. ἐν τῷ μεταδοῦναι, μὰ*] *οὐ τῷ* (*τῶ AU*) *μεταδοῦναι; ΧΡΕ. μὰ* (*μα U*) *RVAU* | *πρῶτα —*] *πρῶτα· RA πρῶτα: V πρῶτα U* ‖ v. 401 *ποιῆσαι — ΒΛΕ. νώ;*] *ποῆσαι νῶϊν* (hoc corr. ex *νῶϊν*) *ΒΛΕ. R ποήσω νῶϊν· ΒΛΕ. V ποιῆσαι νώ· ΒΛΕ. A ποιῆσαι νῶ ΒΛΕ. U* ‖ v. 402 *Πλοῦτον*] *πλοῦτον· R* | *ὥσπερ*] *ὅσπερ V* | *γέ τῳ*] *γε τῷ R γε τῶ V γέ τω AU* ‖ v. 404 *οὐκ ἐτὸς*] *οὐκετὸς R οὐκετός A* | *ἄρ'*] *γὰρ V* | *οὐδεπώποτε*] *οὐδὲ πώποτε VU* ‖ v. 405 *ἢν*] *ἢν R ἠν V ἥν A* ‖ v. 406 *οὔκουν*] *οὐκ' οὖν R οὐκ οὖν V οὐκοῦν AU* | *ἰατρὸν*] *ἰατρῶν U* | *εἰσάγειν*] (sic *V*) *εἰσαγαγεῖν RAU* | *τινα;*] *τινά· RVU τινα A* ‖ v. 407 *ἐστι νῦν*] *ἐστιν A* ‖ v. 408 *οὔτε*] *οὖτε R* | *οὐδὲν ἔστ'*] *οὐδέν ἔστ V οὐδέν ἐστ' A οὐδέν ἐστιν U* | *οὔθ'*] *οὖθ' R*

*ΒΛΕ.* σκοπῶμεν. *ΧΡΕ.* ἀλλ' οὐκ ἔστιν. *ΒΛΕ.* οὐδ' ἐμοὶ
δοκεῖ.
*ΧΡΕ.* μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
κράτιστόν ἐστι. *ΒΛΕ.* πολὺ μὲν οὖν νὴ τοὺς θεούς.
μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
*ΧΡΕ.* καὶ μὴν βαδίζω. *ΒΛΕ.* σπεῦδέ νυν. *ΧΡΕ.* τοῦτ'
αὐτὸ δρῶ.
*ΠΕΝ.* ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε,
ποῖ ποῖ; τί φεύγετον; οὐ μενεῖτον; *ΒΛΕ.* Ἡράκλεις.
*ΠΕΝ.* ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς·
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετόν,
ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
οὔτε θεὸς οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατων.
*ΧΡΕ.* σὺ δ' εἶ τίς, ὦ γραῦ; μαινὰς εἶναί μοι δοκεῖς.
*ΒΛΕ.* ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας·

---

ADNOTATIO CRITICA.

v. 413 *νυν* Hemsterhusius. — v. 414 *νυν* Hemsterhusius cum scholiasta. — v. 422 *ὦ γραῦ* Bambergius — *μαινὰς* mea coniectura est.

---

SCRIPTURAE DISCREPANTIA.

*οὔθ* *V* ‖ in mediis vv. 409 et 412 notae perss. supra versum adscr. sunt in *V* ‖ v. 411 *ἐγώ*,] *ἐγὼ· R* (*ἐγὼ VA*) | *ἐγὼ* anteced. versui contin. *V* | *κατακλίνειν*] *κατακλινεῖν* codd. ‖ v. 412 *κράτιστόν ἐστι*] *κράτιστον ἐστί V κράτιστον ἐστὶ U* | *νὴ*] minio corr. ex *νη* in *A* ‖ v. 413 versui praefixum est *χρ̊ε*. in *V* | *μή νυν*] *μὴ νῦν* codd. | *ἀλλ' ἄνυε*] *ἀλλάνυε U* (*ἀλλ' άνυε RV*) | *πράττων*] *πραττωμεν* sed erasum est *με* in *R* | *ἕν*] corr. ex *ἔν V* om. *R* | *γέ τι.*] *γ' ἔτι· R γέτι·* (in ras. est accentus) *V* ‖ v. 414 *ΧΡΕ.*] *βλ^ε. V* | *μὴν*] *δὴ VAU* | *ΒΛΕ.*] *χρ̊έ· V* | *σπεῦδέ νυν*] *σπεῦδε νῦν* codd. | *ΧΡΕ.*] *βλ^ε. V* | *αὐτὸ*] *αὐτον A* ‖ v. 416 *ἀνθρωπαρίω*] *ἀνθρωπαρίωι R* ‖ v. 417 *φεύγετον*] (sic *RVAU*) | *ΒΛΕ.*] *χρ̊ε AUV* (supra versum adscr. in *V*) | *χρ̊ε ἡράκλεις* inseq. versui add. *U* ‖ v. 418 *ὑμᾶς*] *ἡμᾶς U* ‖ v. 419 *τολμᾶτον*] *τολμάτον U* (*τολματον R*) ‖ v. 420 *ἀλλ'*] *ἀλ' U* | *οὐδεὶς*] *οὐδ εἷς R* corr. $R^2$ | *ἄλλος οὐδεὶς* tr. *U* | *οὐδεπώποτε*] *οὐδὲ πώποτε VAU* ‖ v. 421 *οὔτε θεὸς* anteced. versui contin. *V* ‖ v. 422 *δ'*] *δὲ R* | *τίς, ὦ γραῦ; μαινὰς*] *τίς ὠχρα μέν γαρ R τίς· ὠχρὰ γὰρ VA τίς; ὠχρὰ μὲν U* ‖ v. 423 *Ἐρινύς*] *ἐριννύς AU* | *ἐστιν*] *ἐστὶν V* ‖

βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.
ΧΡΕ. ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας. ΒΛΕ. οὐκοῦν κλαύσεται.
ΠΕΝ. οἴεσθε δ' εἶναι τίνα με; ΧΡΕ. πανδοκεύτριαν,
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.
ΠΕΝ. ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον,
ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
ΧΡΕ. οὔκουν ὑπόλοιπόν σοι τὸ βάραθρον γίγνεται;
ἀλλ' ἥτις εἶ λέγειν σ' ἐχρῆν αὐτίκα μάλα.
ΠΕΝ. ἣ σφὼ ποιήσω τήμερον δοῦναι δίκην
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.
ΒΛΕ. ἆρ' ἐστὶν ἡ καπηλὶς ἡκ τῶν γειτόνων,
ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;
ΠΕΝ. Πενία μὲν οὖν, ἣ σφῷν ξυνοικῶ πόλλ' ἔτη.
ΒΛΕ. ἄναξ Ἄπολλον καὶ θεοί, ποῖ τις φύγῃ;

---

ADNOTATIO CRITICA.

vv. 424 et 25 fortasse rectius inter personas distribuit *A*. — v. 431 *οὔκουν* Brunckius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 424 *βλέπει*] *χρ^ε βλέπει A* | *γέ*] *μέν R* | *τι*] om. *V* ‖ v. 425 *ΧΡΕ.*] *βλ^ε A* | *δᾷδας*] minio corr. ex *δᾶδας* in *A* *δάδας* est in *VU* | *ΒΛΕ.*] *χρ^ε/ A* | *οὐκοῦν*] *οὐκ οὖν V* | *κλαύσεται.*] *κλαύσεται; V* ‖ v. 426 *οἴεσθε*] *οἴεσθαι A* | *τίνα με*] *τινά με U* | *εἶναί με τίνα;* tr. *V* | *ΧΡΕ.*] supra versum adscr. *V βλ^ε* est in *A βλ^ε* in ras. in *U* ‖ v. 427 *λεκιθόπωλιν*] *λεκυθόπωλιν A* | *τοσουτονὶ*] *τοσουτονί A* ‖ v. 428 *ἐνέκραγες*] *ἀνέκραγες R* *ἀνακέκραγες V* | *ἡμῖν*] *ἧμιν U* | *οὐδὲν*] *μηδὲν V* | *ἠδικημένη*] corr. ex *ἡδικημένη R* ‖ v. 431 *οὔκουν*] *οὐκοῦν* codd. | *σοι τὸ βάραθρον γίγνεται;*] *τὸ βαραθρόν σοι γίνεται· R* *σοι τὸ βάραθρον γενήσεται· V* *σοι τὸ βάραθρον γίνεται· A* *τὸ βάραθρόν* (supra: *σοι*) *γίνεται U* ‖ v. 432 *ἥτις*] *εἴτις RV* | *σ'*] omm. *AU* | *σ' ἐχρῆν*] *σε χρῆν R* ‖ v. 433 *ἣ σφὼ*] *ἥ σφω R* *ἥ σφῶ V* *ἥ σφω AU* | *ποιήσω*] *ποήσω RVA* ‖ v. 434 *ἐμὲ*] *ἐμε R* | *ἐνθένδ'*] *ἔνθενδ' R* *ἐνθάδ' U* | *ἀφανίσαι*] *ἀφανί* (supra: *σαι*) *A* corr. in *ἀφανί A²* ‖ v. 435 *ΒΛΕ.*] *χρ^ε V* | *ἆρ'*] *ἄρ' A* | *ἐστὶν*] *ἔστιν RVU* *ἐστίν A* | *ἡκ*] *ἡ 'κ* codd. ‖ v. 436 supra *διαλυμαίνεται* scripsit *γρ. περικλέπτει διαλαμβάνεται U²* ‖ v. 437 *ἣ σφῷν*] *ἥ σφω V* *ἣ σφῶϊν A* *ἣ σφώιν U* (*ἣ σφῶν R*) ‖ v. 438 totum versum om. *R*, in marg. add. *R²* | *ΒΛΕ.*] om. *R* | *καὶ*] *ὦ R* | *τις*] *τίς οὖν V* *τίς A* | *φύγῃ;*] *φύγηι* corr. ex *φύγοι* hoc corr.

ΧΡΕ. οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον,
οὐ παραμενεῖς; ΒΛΕ. ἥκιστα πάντων. ΧΡΕ. οὐ
μενεῖς;
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγωμεν μίαν;
ΒΛΕ. Πενία γάρ ἐστιν, ὦ πονήρ', ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.
ΧΡΕ. στῆθ', ἀντιβολῶ σε, στῆθι. ΒΛΕ. μὰ Δί' ἐγὼ μὲν οὔ.
ΧΡΕ. καὶ μὴν λέγω, δεινότατον ἔργον παρὰ πολὺ
ἔργων ἁπάντων ἐργασόμεθα, τὸν θεὸν
ἔρημον ἀπολιπόντες εἴ φευξούμεθα
τηνδὶ δεδιότες, μηδὲ διαμαχούμεθα.
ΒΛΕ. ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;
ποῖον γὰρ οὐ θώρακα, ποίαν δ' ἀσπίδα
οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
ΧΡΕ. θάρρει· μόνος γὰρ ὁ θεὸς οὗτος οἶδ' ὅτι
τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.

ADNOTATIO CRITICA.

v. 446 ἐργάσομεθα, τὸν Meinekius. — v. 447 ἀπολιπόντες εἴ Dobraeus. — v. 452 fortasse scribendus est: θάρρει· μονώτατος γὰρ ὁ θεὸς οἶδ' ὅτι· — v. 453 ἂν στήσαιτο Suidas.

SCRIPTURAE DISCREPANTIA.

ex φύγει in *R* φύγη· est in *V* φύγοι· *AU* ‖ v. 439 δρᾷς;] δρᾶς· *V* δρᾶς *AU* | θηρίον *U* ‖ v. 440 notas perss. in medio versu supra versum adscr. *V* ‖ v. 441 δύο] δύω *VU*· | φεύγωμεν] φεύγομεν *RVU* φεύγομεν *A* ‖ v. 442 ἐστιν,] ἐστὶν *V* | πονήρ'] πόνηρ' codd. | οὐδαμοῦ] om. *V* ‖ v. 443 οὐδὲν πέφυκε anteced. versui contin. *V* | ζῷον] ζῶον *VAU* ‖ v. 444 ΧΡΕ. στῆθ ἀντιβολῶ σε· anteced. versui contin. *V* | στῆθι] om. *V* ‖ v. 445 πολὺ] πολύ· *V* πολύ *A* ‖ v. 446 ἐργασόμεθα,] ἐργασόμεθ' εἴ *RU* ἐργασόμεθ εἴ *V* ἐργασόμεσθ'. εἴ *A* ‖ v. 447 ἀπολιπόντες εἴ] ἀπολείποντέ (corr. in ἀπολιπόντε $R^2$ ἀπολιπόντε exhibet lemma scholii) ποι *R* ἀπολειπόντε ποῖ *V* ἀπολιπόντε ποῖ *A* ἀπολιπόντέ ποι *U* | φευξούμεθα] φευξοίμεθα *V* ‖ v. 448 τηνδὶ] τὴνδὶ *RVU* | δεδιότες] (sic *V*) δεδιότε *RAU* | μηδὲ] μὴδε *R* μὴ δὲ *VA* ‖ v. 449 ποίοις] ποίοισιν codd. | ὅπλοισιν] ὅπλοις ras. corr. ex ὅπλοισιν *R* ὅπλοις est in *VAU* ‖ v. 450 θώρακα] θώρηκα *V* | ποίαν δ'] ποῖαν δ' *R* καὶ ποίαν *AU* ‖ v. 451 μιαρωτάτη] μιαρρωτάτη *R* ‖ v. 452 ὁ θεὸς οὗτος οἶδ'] ὁ θεὸς οἶδ *V* οὗτος οἶδ' ὁ θεὸς. *AU* | ὅτι] ὅτι· *V* ὅ, τι *U* ‖ v. 453 τροπαῖον] τρόπαιον *AU* | ἂν στήσαιτο] ἀνστήσαιτο

*ΠΕΝ.* γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;
*ΧΡΕ.* σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ
ἡμῖν προσελθοῦσ' οὐδ' ὁτιοῦν ἀδικουμένη;
*ΠΕΝ.* οὐδὲν γάρ, ὦ πρὸς τῶν θεῶν, νομίζετε
ἀδικεῖν με τὸν Πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν; *ΧΡΕ.* τί οὖν ἀδικοῦμεν τοῦτό σε,
εἰ πᾶσιν ἀνθρώποις ἀγαθὰ πορίζομεν;
*ΠΕΝ.* τί δ' ἂν ποθ' ὑμεῖς ἀγαθὸν ἐξεύροιθ'; *ΧΡΕ.* ὅ τι;
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
*ΠΕΝ.* ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετε
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώποις; *ΧΡΕ.* ὅ τι;
εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.
*ΠΕΝ.* καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή,

---

ADNOTATIO CRITICA.

v. 461 et 462 *ἀνθρώποις ἀγαθὰ πορίζομεν. | ΠΕΝ. τί δ' ἂν ποθ' ὑμεῖς* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

*R ἀναστήσαιτο AU* ‖ v. 454 *καθάρματε*] *καθάρματοι R καθάρματα AU γρ. τὰ καθάρματα* in margine $U^2$ ‖ v. 455 *ἐπ' αὐτοφώρῳ*] *ἐπαυτοφώρῳ R ἐπ αὐτοφώρω V ἐπαυτοφώρω A* | *εἰλημμένω*] *εἰλημμένωι R* ‖ v. 456 *ΧΡΕ.*] *βλ^ε/ A* | *σὺ*] *σύ A* | *ἀπολουμένη*] ras. corr. ex *ἀπολογουμένη R* | *λοιδορεῖ*] mut. in *λοιδορεῖς* $V^3$ ‖ v. 457 *οὐδ' ὁτιοῦν*] *οὐδ' ὅτι οὖν R οὐδοτιοῦν VU* ‖ v. 458 *ὦ*] *ὦ V* ‖ v. 459 *ποιεῖν*] *ποεῖν RA* | *πειρωμένω*] *πειρωμένωι R* ‖ v. 460 *τί οὖν*] *τιοῦν R* ‖ v. 461 *ἀνθρώποις ἀγαθὰ πορίζομεν;*] *ἀνθρώποισιν ἐκπορίζομεν ἀγαθόν· R ἀνθρώποισιν ἐκποριζοίμεθ' ἀγαθόν; V ἀνθρώποισιν ἐκπορίζομεν ἀγαθὸν A ἀνθρώποις πορίζομεν ἀγαθὸν· U* ‖ v. 462 *ΠΕΝ. τί δ' ἂν ποθ' ὑμεῖς*] *π^ε τι* (*τί VAU*) *δ' ἂν* (*δἂν V*) *ὑμεῖς RVAU* | *ΧΡΕ.*] supra versum adscr. *V βλ^ε/* est in *A* | *ὅτι;*] *ὅτι* codd. ‖ v. 463 *σὲ*] *σε RV* | *σε πρῶτον* anteced. versui contin. *V* | *Ἑλλάδος*] *ἑλλάδος V* ‖ v. 464 *τί ἂν*] *τί αν R τί δ ἂν V* | *νομίζετε*] *νομίζετον VAU* ‖ v. 465 *ἀνθρώποις*] *ἀνθρώπους AU* ‖ v. 466 *δρᾶν*] *δρᾶιν R* ‖ v. 467 *σφῷν περὶ τούτου*, tr. *A* ‖ v. 468 *κἂν*] *κἄν R κάν V* | *ἀποφήνω*] *ἀποφήνω* (supra: *δείξω*) *U* ‖ v. 469 *ἁπάντων*] *πάντων V* ‖ v. 470 *ἐμέ τε*] *ἐμε R ἐμὲ τὲ A* | post *μή·*

ποιεῖτον ἤδη τοῦθ' ὅ τι ἂν ὑμῖν δοκῇ.
ΧΡΕ. ταυτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
ΠΕΝ. καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ,
εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.
ΧΡΕ. ὦ τύμπαν', ὦ κύφωνες οὐκ ἀρήξετε;
ΠΕΝ. οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.
ΧΡΕ. καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν ἰοὺ ἰοὺ
τοιαῦτ' ἀκούων; ΠΕΝ. ὅστις ἐστὶν εὖ φρονῶν.
ΧΡΕ. τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
ἐὰν ἁλῷς; ΠΕΝ. ὅ τι σοι δοκεῖ. ΧΡΕ. καλῶς λέγεις.
ΠΕΝ. τὸ γὰρ αὔτ', ἐὰν ἡττᾶσθε, καὶ σφὼ δεῖ παθεῖν.
ΧΡΕ. ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
ΒΛΕ. ταύτῃ γε· νῷν δὲ δύ' ἀποχρήσουσιν μόνω.

---

ADNOTATIO CRITICA.

v. 476 ὦ τύμπαν' ὦ κύφωνες Bentleius. — v. 482 αὔτ', ἐὰν Dindorfius.

---

SCRIPTURAE DISCREPANTIA.

in exitu versus erasae sunt duae litterae, fortasse πο, in R ‖ v. 471 ποιεῖτον] ποεῖτον RVA ‖ v. 472 ΧΡΕ.] βλ$^{ε}$/ A | ταυτὶ] τουτί A τουτὶ U ‖ v. 473 ῥᾳδίως] ραδίως R ῥαδίως VAU ‖ v. 474 ἁμαρτάνοντά σ' ἀποδείξειν] ἁμαρτάνοντας γ' αποδείξειν V ἁμαρτάνοντας ἀποδείξειν A | ἐγώ] ἐγὼ (ὑμᾶς superscripsit $U^2$) in U ‖ v. 475 φῂς] φὴς VU φής A | ποιήσειν] ποήσειν RV ‖ v. 476 ΧΡΕ.] B̃ R βλ$^{ε}$/ V | ὦ τύμπαν', ὦ] ὦ τύμπανα καὶ RVA ὦ τυμπανε καὶ U | κύφωνες] mut. in κυφῶνες $R^2$ aut $R^3$ (κύφῶνες (sic) lemma scholii in R) ‖ v. 477 μάθῃς] μάθοις A ‖ v. 478 ΧΡΕ.] βλ$^{ε}$/ RVA | ἰοὺ ἰοὺ] ἰοὺ ἰού RA ἰού· ἰού· V ἰοὺ ἰού· U ‖ v. 479 ἐστὶν] ἐστιν R | φρονῶν] corr. ex φρωνῶν R ‖ v. 480 ἐπιγράψω] ἐπεγράψω R ‖ v. 481 ἁλῷς] ἁλῶς VA ἁλὼς U | ΧΡΕ.] βλ$^{ε}$/ RA | καλῶς] corr. ex κακῶς R ‖ v. 482 τὸ] corr. ex τῳ R | αὔτ'] αὐτὸς R corr. in αὐτὸ $R^2$ αὐτὸ est in VU αὐτό γ' A | ἐὰν] ἂν V | ἡττᾶσθε] ἡττᾶσθαι RVA | καὶ] om. R | σφὼ] σφῶι R σφῶ' V σφῶ U (καὶ σφῶ δεῖ παθεῖν ut vid. lemma scholii in R) ‖ v. 483 ΧΡΕ.] βλ$^{ε}$/ A | δῆτα θανάτους] δῆτ' αθανάτους V | εἴκοσιν;] εἴκοσι RV εἴκοσι; A ‖ v. 484 ΒΛΕ.] om. R add. $R^4$ χρ$^{ε}$/ est in A | ταύτῃ] ταυτῇ R ταύτη VAU | νῷν] B̃ νῶιν R notam pers. del. $R^4$ νῶϊν est in VA | ἀποχρήσουσιν] ἀποχρήσουσι V | μόνω] corr. ex μόνωι

*ΠΕΝ.* οὐκ ἂν φθάνοιτε τοῦτο πράττοντες· τί γὰρ
ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;
*ΚΟΡ.* ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν ᾧ νικήσετε τηνδὶ
ἐν τοῖσι λόγοις ἀντιλέγοντες· μαλακὸν δ' ἐνδώσετε μηδέν.
*ΧΡΕ.* φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον,
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους τούτων τἀναντία δήπου.
τούτου δ' ἡμεῖς ἐπιθυμοῦντες μόλις εὕρομεν ὥστε γενέσθαι
βούλευμα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ ἀπολείψει,
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποιήσει

---

ADNOTATIO CRITICA.

v. 485 *πράττοντες· τί γὰρ* Bergkius. — v. 492 *τούτου δ'* Kappeynius. — v. 493 *βούλευμα* scholium alterum.

---

SCRIPTURAE DISCREPANTIA.

$R^2$ *μόνῳ* (superscr. *οι*) est in *U* ad quae *μόνοις* adscr. $U^2$ ‖ v. 485 *φθάνοιτε*] codd. | *πράττοντες·*] *πράττοντες εἴ R εἴ* corr. in *ἢ* $R^4$ *πράττοντες εἴ* est in *V πράττοντες ἢ AU* | *τί*] *τι RV* | *γὰρ*] *γ' ἂν AU* ‖ v. 486 *τις*] *τίς R* | *ἀντειπεῖν*] corr. ex *ἀντηπεῖν R* ‖ v. 487 *ΚΟΡ.*] *χορὸς γερόντων RV χορὸς* (superscr. *πρέπει*) *U* om. *A* | *χρῆν*] *χρὴ U* | *ᾧ*] *ὡς V* (*ὧ AU*) | *τηνδὶ*] *τὴν δὶ R τὴν δί VU τηνδί A* ‖ v. 488 *τοῖσι*] *τοῖς RV* | *μαλακὸν δ'*] *μαλακόν τ' R* (*μαλακόν δ' A*) ‖ v. 490 *ἐστὶ*] *ἐστί A* ‖ v. 491 *πονηροὺς*] *πονηρὸς R* corr. $R^2$ | *τούτων*] om. *A* | *τἀναντία*] *ταναντία R* ‖ v. 492 *τούτου δ'*] *τοῦτ' οὖν RVA τοῦτο οὖν U* | *ἡμεῖς*] corr. ex *ὑμεῖς A* ‖ v. 493 *βούλευμα*] *βούλημα* codd. ‖ v. 494 *ἢν*] *ἐὰν R ἠν V* | *νυνὶ*] *νῦν R* | *περινοστῇ*] *περὶ νοστῇ R* ‖ v. 495 *ὡς*] *εἰς U* | *κοὐκ*] *κ' οὐκ R* | super *ἀπολείψει*] scr. *ἀπολειφθῇ* $U^2$ ‖ v. 496 *κᾆτα*] *κᾶτα R κἄτα V κᾶτα U* |

πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου τά τε θεῖα σέβοντας.
καίτοι τούτου τοῖς ἀνθρώποις τί ἂν ἐξεύροι ποτ' ἄμεινον;
*ΒΛΕ.* οὐδέν· ἐγώ σοι τούτου μάρτυς· μηδὲν ταύτην γ' ἀνερώτα.
*ΧΡΕ.* ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον;
πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροί,
ἀδίκως πολλὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ
πράττουσι κακῶς καὶ πεινῶσιν μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.
*ΒΛΕ.* οὔκουν εἶναί φημ', εἰ παύσει ταύτην βλέψας ποθ' ὁ Πλοῦτος,
ὁδὸν ἥντιν' ἰὼν τοῖς ἀνθρώποις ἀγάθ' ἂν μείζω πορίσειεν.

---

ADNOTATIO CRITICA.

v. 498 *τί* Bambergius. — v. 499 *οὐδέν·* Cobetus. — v. 503 *πολλὰ* Reiskius. — v. 504 *πεινῶσιν* Kusterus. — v. 505 *ΒΛΕ.* Kappeynius.

---

SCRIPTURAE DISCREPANTIA.

*ποιήσει*] *ποήσει RVA* ‖ v. 498 *καίτοι*] *καί τοι R* | *τί*] *τίς* codd. | *ἐξεύροι*] *ἐξ εὕροι V* | *ποτ'*] corr. ex *πότ' A πότ'* est in *R* | *ἄμεινον;*] *άμεινον· V* (*ἄμεινον· R ἄμεινον A*) ‖ v. 499 *οὐδέν· ἐγώ σοι*] *οὐδεὶς· ἐγώ σοι R οὐδεὶς ἐγώ σοι A οὐδείς ἐγώ σοι V οὔ τις· ἐγώ σοι U* | *ταύτην*] corr. ex *ταύτη R* | *ἀνερώτα*] corr. ex *ἀνερῶτα* (*πῶς* suprascr.) *R* ‖ v. 500 *ὡς*] *ὥς U* ‖ v. 501 *τ' ἔτι*] *τε V* ‖ v. 502 *γὰρ*] om. *V* ‖ v. 503 *πολλὰ*] *αὐτὰ* codd. | *ξυλλεξάμενοι*] *συλλεξάμενοι R* | *χρηστοὶ*] *χρηστοὶ, V χρηστοί, A* ‖ v. 504 *πεινῶσιν*] *πεινῶσι* codd. | *τε*] *γε V τέ U* | *σύνεισιν*] corr. ex *σύνεισεν R* ‖ v. 505 *ΒΛΕ.*] omm. codd. | *οὔκουν*] corr. ex *οὐκ οὖν* ut vid. in *V οὐκοῦν* est in *AU* | *φημ',*] *φημὶ R φημι V* | *εἰ*] *ἢ AU* | *παύσει*] (sic *VAU*) *παῦσαι R* | *ταύτην βλέψας*] (sic *R*) *ταῦτ ἢν βλέψηι V ταῦτ' ἢν βλέψη A ταύτ' ἢν βλέψη U* | *ποθ'*] *πόθ' RA πόθ V* (*οὐκ' οὖν εἶναι φημὶ ὁδὸν ἥντινα ἰὼν* lemma scholii in *R*) ‖ v. 506 *ἥντιν'*] (sic *VU*) *ἥνντιν' R ἥντινα A* | *ἰὼν τοῖς ἀνθρώποις*] *τοῖς*

*ΠΕΝ.* ἀλλ᾽ ὦ πάντων ῥᾷστ᾽ ἀνθρώπων ἀναπεισθέντ᾽ οὐχ ὑγιαίνειν
δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν,
εἰ τοῦτο γένοιθ᾽ ὃ ποθεῖθ᾽ ὑμεῖς, οὔ φημ᾽ ἂν λυσιτελεῖν σφῷν.
εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ᾽ ἴσον αὑτόν,
οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ᾽ ἂν σοφίαν μελετῴη
οὐδείς· ἀμφοῖν δ᾽ ὑμῖν τούτοιν ἀφανισθέντοιν ἐθελήσει
τίς χαλκεύειν ἢ ναυπηγεῖν ἢ ῥάπτειν ἢ τροχοποιεῖν
ἢ σκυτοτομεῖν ἢ πλινθουργεῖν ἢ πλύνειν ἢ σκυλοδεψεῖν
ἢ γῆς ἀρότροις ῥήξας δάπεδον καρπὸν Δηοῦς θερίσασθαι,
ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;
*ΧΡΕ.* λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ᾽ ὅσα νῦν δὴ κατέλεξας

---

ADNOTATIO CRITICA.

v. 510 *αὑτόν* Bentleius. — v. 514 *σκυλοδεψεῖν* Bentleius. — v. 516 *πᾶσιν* malim pro *ὑμῖν*.

---

SCRIPTURAE DISCREPANTIA.

ἀνθρώποις ἰὼν, *A* ‖ v. 507 *ΠΕΝ.*] om. *V* | ἀλλ᾽ ὦ] ἀλλ᾽ ὦ (ὑμεῖς) *U* | πάντων] πάντ *V* πάντα *A* | ἀνθρωπων ῥᾶστ᾽ tr. *V* (ῥᾶστ᾽ est etiam in *U*) | ἀναπεισθέντ᾽] ἀναπισθέντ᾽ *R* corr. *R*[4] ἀναπεισθέντες est in *AU* ‖ v. 508 δύο] δύω *V* | πρεσβύτα] corr. ex πρεσβῦτα *R* | ξυνθιασώτα] ξυνθιασσώτα corr. ex ξυνθιασσῶτα *R* ‖ v. 509 οὔ φημ᾽] οὐ φήμ᾽ *V* οὐ φῆμ᾽ *A* | σφῷν.] σφῶϊν *VA* ‖ v. 510 βλέψειε] νυνὶ βλέψειε, *V* | διανείμειέν] διανέμειεν *R* διανείμειεν *V* διανέμειέ *A* διανείμειε *U* | αὐτόν] ἑαυτὸν corr. ex ἑαυτόν *R* ἑαυτὸν est in *VAU* ‖ v. 511 οὔτε] corr. ex οὖτε *R* οὔτ ἂν est in *V* | ἂν τῶν] τῶν *V* | οὔτ᾽ ἂν] οὔτε *RVA* | μελετῴη] μελετώη *VU* ‖ v. 512 ὑμῖν] corr. ex ἡμῖν *A* | post ἐθελήσει] una littera erasa est in *R* ‖ v. 513 ῥάπτειν] ράπτειν; *R* ‖ v. 514 πλινθουργεῖν] corr. ex πληνθουργεῖν *V* | σκυλοδεψεῖν] σκυτοδεψεῖν *RAU* βυρσοδεψεῖν *V* ‖ v. 515 ῥήξας] ῥηξας *R* πήξας *V* | Δηοῦς] δηους (lemma scholii δηούς) *R* ‖ v. 516 ἢν] ἡν *R* ἠν *V* | ἐξῇ] ἐξῆν *RV* (ἐξῆ *AU*) | ὑμῖν] ὑμῖν οὖσι *V* ἡμῖν *A* | ἀμελοῦσιν;] ἀμελοῦσι *V* ἀμελοῦσι: *A* ἀμελοῦσι. *U* | pro τούτων πάντων ἀμελοῦσιν;] est: πάνθ᾽ ὅσα νῦν δῆ κατέλεξας *R* et in margine: γρ. πάντων ἀμελοῦσι *R*[4] ‖ v. 517 λῆρον] λήρον *U* | πάνθ᾽] corr. ex πᾶνθ᾽ *V* | νῦν δὴ] νῦν *V* νυνί *A* νυνὶ *U* | κατέλεξας] κατελεξας· *R* κατέλεξας,

οἱ θεράποντες μοχθήσουσιν. *ΠΕΝ.* πόθεν οὖν ἕξεις θεράποντας;
*ΧΡΕ.* ὠνησόμεθ' ἀργυρίου δήπου. *ΠΕΝ.* τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ; *ΧΡΕ.* κερδαίνειν βουλόμενός τις
ἔμπορος ἥκων ἐκ Θετταλίας παρά τ' ἄλλων ἀνδραποδιστῶν.
*ΠΕΝ.* ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀνδραποδιστὴς
κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει
κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποιῆσαι;
ὥστ' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν τἄλλα τε μοχθεῖν
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν. *ΧΡΕ.* ἐς κεφαλὴν σοί.

---

ADNOTATIO CRITICA.

v. 518 *μοχθήσουσιν* Duckerus. — v. 521 *παρά τ' ἄλλων* e coniectura scripsi. — v. 526 *σοί.* Dindorfius.

---

SCRIPTURAE DISCREPANTIA.

*A* ‖ in mediis vv. 518, 519, 520, 526 notae perss. supra versum adscr. in *V* ‖ v. 518 *μοχθήσουσιν.*] *μοχθήσουσι· RU μοχθήσουσι: V μοχθήσουσι A* | hunc versum in duos dirimit alterum incipiens a *ΠΕΝ. πόθεν* vocc. *U* | *ἕξεις*] *ἕξεις U* | *θεράποντας;*] *θεραποντας· R θεράποντας VA* ‖ v. 519 *ὠνησόμεθ'*] *ὠνησόμεσθ V* hunc versum in duos dirimit alterum incipiens a *ΠΕΝ. τίς* vocc. *U* | *πρῶτον*] *πρῶτος VA* | *πωλῶν*] *πωλὼν U* ‖ v. 520 *ὅταν*] *ὅτ' ἂν R ὅτ ἂν V* | *κἀκεῖνος*] *κακεῖνος R* | *ἔχῃ;*] *ἔχῃ· RV ἔχη· A* | *ΧΡΕ. κερδαίνειν βουλόμενος τίς* verba inseq. versui add. *U* | *τις*] *τίς AU* ‖ v. 521 hunc versum in duos dirimit alterum incipiens a *παρὰ πλείστων* vocc. *U* | *παρά τ' ἄλλων*] *παρα πλείστων R παρὰ πλείστων VAU* ‖ v. 522 *ἀλλ' οὐδ'*] *ἀλλ' οὐδε R ἀλλ' ουδὲ V* | *οὐδεὶς*] *οὐδης R οὐδεῖς A* ‖ v. 523 *δήπου*] om. *V* ‖ v. 524 *κινδυνεύων*] *κινδυνεύειν R* | *αὑτοῦ*] *αὐτοῦ RV* | *ποιῆσαι;*] *ποῆσαι· RV ποιῆσαι· A* ‖ v. 525 *ἀροῦν*] *αρõ$^{ῦν}$* (*ο* est in rasura, *ῦν* superscripsit *R*[2]) in *R ἄρ' οὖν* est in *V* om. *U* | *τἄλλα τε*] *καὶ V τ' ἄλλα τὲ U τἄλλα τὲ A* ‖ v. 526 *ὀδυνηρότερον*] *ὀδυνηρότερότερον R* | *σοί*] *σοι RV σου AU* ‖

*ΠΕΝ.* ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται·
οὔτ' ἐν δάπισιν· τίς γὰρ ὑφαίνειν ἐθελήσει χρυσίου ὄντος;
οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον·
οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
καίτοι τί πλέον πλουτεῖν ἔσται τούτων πάντων ἀποροῦντι;
παρ' ἐμοῦ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν ὧν δεῖσθον· ἐγὼ γὰρ
τὸν χειροτέχνην ὥσπερ δέσποιν' ἐπαναγκάζουσα κάθημαι
διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.
*ΧΡΕ.* σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθόν, πλὴν φῴδων ἐκ βαλανείου
καὶ παιδαρίων ὑποπεινώντων καὶ γραϊδίων κολοσυρτοῦ;

---

ADNOTATIO CRITICA.

v. 528 *δάπισιν* Suidas. — v. 529 fortasse pro *ἀγάγησθον* scribendum est: *ἀγάγῃ σύ*. — v. 531 *ἔσται* Porsonus — *ἀποροῦντι* Valckenarius. — v. 534 pro *καὶ τὴν πενίαν* coniecerim: *ἵνα μὴ πεινῇ*. — v. 535 *φῴδων* Etym. M. — v. 536 *κολοσυρτοῦ* Kusterus.

---

SCRIPTURAE DISCREPANTIA.

v. 527 *ΠΕΝ.*] om. *R* add. *R*[2] | *ἕξεις*] *ἕξεις U* (*ἑξεις R*) | *καταδαρθεῖν*] mut. in *καταδραθεῖν R*[3] aut *R*[1] (*καταδαρθεῖν* lemma scholii in *R*) ‖ v. 528 *οὔτ' ἐν*] *οὔτε*$^{τ'\ ἐν}$ *U* (*οὔτ ἐν V*) | *δάπισιν·*] *δάπισι* corr. ut vid. ex *δ' απὶ σι R δάπησι V τάπησιν AU* ‖ *οὔτε*] *οὔτ' ἐν R* | *μύροισιν*] *μύροισι R μύροισι· V* | *μυρίσαι*] *μυρῖσαι V* | *ὁπόταν*] *ὁπότ' ἂν RA ὁπότ ἂν V* ‖ v. 531 *ἔσται*] *ἐστὶν R ἐστὶ V ἐστι A ἐστιν U* | *τούτων πάντων*] *πάντων τοῦτ' R πάντων τούτων AU* | *ἀποροῦντι;*] *ἀποροῦντα· R ἀποροῦντας VAU* ‖ v. 532 *ἐμοῦ*] *ἐμοὶ* corr. ex *ἐμου V* | *ἔστιν*] *ἐστι RV ἐστιν A ἐστὶν U* ‖ v. 534 *χρείαν*] *χρεῖαν R* | *ὁπόθεν*] corr. ex *ὅποθεν V* | *ἕξει*] *ἕξει U* ‖ v. 535 *φῴδων*] *φώδων VAU* (compendio exaratum est voc. in *R φώδων* exhibet etiam lemma scholii in *R*) | *βαλανείου*] *βαλανείων* lemma scholii in *R βαλανείου· V* ‖ v. 536 *γραϊδίων*] *γρηιδίων U* | *κολοσυρτοῦ;*] *κολοσυρτόν· RV κολο-*

φθειρῶν δ' ἀριθμὸν καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις, ἀλλ' ἐπανίστω.
πρὸς δέ γε τούτοις ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος· ἀντὶ δὲ κλίνης
στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει·
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ προσκεφαλαίου,
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ' ἀντὶ μὲν ἄρτων
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνὰ ῥαφανίδων·
ἀντὶ δὲ θράνου στάμνου κεφαλὴν κατεαγότος, ἀντὶ δὲ μάκτρας

ADNOTATIO CRITICA.

v. 537 δ' Kusterus. — vv. 537—539 nescio an scribendi sint: *φθειρῶν ἀριθμὸν δ' ὑπὸ τοῦ πλήθους καὶ ψυλλῶν οὐδὲ λέγω σοι | καὶ κωνώπων, οἳ βομβοῦντες περὶ τὴν κεφαλὴν ἀνιῶσιν, | ἐπεγείροντες καὶ φράζοντες, πεινήσεις, ἀλλ' ἐπανίστω.* — in vv. 540—546 iustum sententiarum ordinem desidero: 1) Aptum non videtur repetitum *ἐγείρειν* voc. in vv. 539 et 541, 2) in enumerandis paupertatis incommodis in vv. 540—543, 543—545, 545—546 perturbatio quaedam mihi offensioni est, 3) *ἔχειν* in vv. 545 et 546 interpositis vv. 543 et 544 omitti non potuisse videtur. Ni fallor, hoc loco inter se mixtae sunt duae illae Pluti recensiones. — v. 544 *φυλλεῖ'* scholium ad Acharn v. 469. — *ἰσχνὰ* mea coniectura est; *ἰσχνῶν* inde profectum est, quod ignoravit librarius *ᾰ* litteram insequenti *ῥ* littera produci. — v. 545 *θράνου* Pollux.

SCRIPTURAE DISCREPANTIA.

*συρτὸν A κολοσυρτόν; U* ‖ v. 537 *δ'*] *τ' RAU τ V* | *ἀριθμὸν*] *ἀριθμόν· V* ‖ v. 538 *ἀνιῶσιν*] *ἀνιῶσι RV* ‖ v. 539 *ἐπεγείρουσαι*] *ἐπαγείρουσαι R* | ante *πεινήσεις*] supra versum adscr. *μὴ* $U^2$ ‖ v. 540 *δέ γε τούτοις*] *δὲ τούτοις A δὴ τούτοις U* | *ῥάκος*] corr. ex *ῥάκκος* in *R* ‖ v. 541 *στιβάδα*] ras. corr. ex *στοιβάδα* in *A* | *σχ* in *σχοίνων*] compendio exaratum est in *R*, quod cum non intellegeret, superscr. *σ* $R^2$ | *εὕδοντας*] *εὔδοντας V* ‖ v. 542 *προσκεφαλαίου*] *προσκεφαλλαίου V* ‖ v. 543 *δ'*] *δὲ R* ‖ v. 544 *φυλλεῖ'*] *φύλλ'* codd. | *ἰσχνὰ*] *ἰσχνῶν* codd. | *ῥαφανίδων,*] *ῥαφανίδων· R* ‖ v. 545 *θράνου*] *θράνους* codd. ‖

φιδάκνης πλευρὰν ἐρρωγυῖαν καὶ ταύτην. ἆρά γε πολλῶν
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἴτιον οὖσαν;
*ΠΕΝ.* σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ' ἐπεκρούσω.
*ΧΡΕ.* οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.
*ΠΕΝ.* ὑμεῖς γ' οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.
ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος οὐ μὰ Δί', οὐδέ γε μέλλει.
πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν ἔχοντα·
τοῦ δὲ πένητος ζῆν φειδόμενον καὶ τοῖς ἔργοις προσέχοντα,
περιγίγνεσθαι δ' αὐτῷ μηδέν, μὴ μέντοι μηδ' ἐπιλείπειν.
*ΧΡΕ.* ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας,
εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ ταφῆναι.
*ΠΕΝ.* σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν τοῦ σπουδάζειν ἀμελήσας,

---

ADNOTATIO CRITICA.

v. 546 *φιδάκνης* Brunckius. — v. 547 *αἴτιον* Bentleius. — v. 548 *ἐπεκρούσω* Pollux.

---

SCRIPTURAE DISCREPANTIA.

v. 546 *φιδάκνης*] *πιθάκνης* codd. | *ἆρά*] *ἀρά* *R* *ἆρα* *A* ‖ v. 547 *πᾶσιν*] *πᾶσι* codd. | *αἴτιον*] *αἰτίαν* codd. ‖ v. 548 *οὐ*] ου ras. corr. ex *οὖν* *R* om. *A* | *ἐπεκρούσω*] *ὑπεκρούσω* *RVA* *ὑπεκροῦσω* *U* ‖ v. 549 *οὐκοῦν*] *οὐκ οὖν* *V* | *πτωχείας πενίαν*] *πενίας· πτωχείαν* *V* | *ἀδελφήν.*] *ἀδελφήν;* *R* (*ἀδελφήν* *A*) ‖ v. 550 *ΠΕΝ.*] om. *V* add. *V*³ | *οἵπερ*] *οἳ* *A* (*ὕπερ* lemma scholii in *R*) | *εἶναι*] *φάτ' εἶναι* *RA* *φᾶτ' εἶναι* *V* | *ὅμοιον*] mut. in *ὁμοῖον* *A* *ὁμοῖον* exhibet etiam *U* ‖ v. 551 *οὑμὸς*] *οὐμὸς* *V* *ὀὑμος* *U* | *τοῦτο*] *τοῦτ' αὐτὸ* *V* | *πέπονθεν*] corr. ex *πέπονθε* *R* *πέπονθε* est in *V* | *οὐ*] *οὔ* *AU* | *γε*] om. *U* ‖ v. 552 *λέγεις*] *λέγῃς* *R* | *ἐστιν*] *ἔστι* *R* *ἐστὶ* *V* ‖ v. 554 *περιγίγνεσθαι*] *περιγίνεσθαι* *U* | *μηδ'*] *μὴ δ'* codd. ‖ v. 555 *αὐτοῦ*] *αὐτῶ* *A* ‖ v. 556 *φεισάμενος*] *φειδόμενος* *V* | *καταλείψει*] *καταλείψειν* *V* | *μηδὲ*] *μὴ δε* *R* *μὴ δὲ* *VAU* ‖

οὐ γιγνώσκων ὅτι τοῦ Πλούτου παρέχω βελτίονας ἄνδρας
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. παρὰ τῷ μὲν γὰρ ποδαγρῶντες
καὶ γαστρώδεις καὶ παχύκνημοι καὶ πίονές εἰσιν ἀσελγῶς,
παρ' ἐμοὶ δ' ἰσχνοὶ καὶ σφηκώδεις καὶ τοῖς ἐχθροῖς ἀνιαροί.

ΧΡΕ. ἀπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.

ΠΕΝ. περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν κἀναδιδάξω
ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ, τοῦ Πλούτου δ' ἐστὶν ὑβρίζειν.

ΧΡΕ. πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν καὶ τοὺς τοίχους διορύττειν.

[ΒΛΕ. νὴ τὸν Δί', εἰ δεῖ λαθεῖν αὐτόν, πῶς οὐχὶ κόσμιόν ἐστι;]

ΠΕΝ. σκέψαι τοίνυν ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας, ὡς ὁπόταν μὲν

---

ADNOTATIO CRITICA.

v. 566 delevit Bentleius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 558 *γιγνώσκων*] *γινώσκων RVU* | *παρέχω βελτίονας ἄνδρας* in ras. *R* ‖ v. 559 *παρὰ τῷ*] *παρατῷ R* mut. in *παρ*$^{υ}$*ατῷ* $R^2$ *παρ' αὐτῷ* est in *AU* | *γὰρ*] om. *U* | *ποδαγρῶντες* inseq. versui add. *V* ‖ v. 560 *γαστρώδεις*] *γαστρώιδεις* (sed lemma scholii *γαστρώδεις*) *R* | *εἰσιν*] *εἰσὶν* codd. ‖ v. 561 *ἐμοὶ*] *ἐμοί U* | *ἀνιαροί*] *ανιαροί* corr. ex *ανιαροῖ R* ‖ v. 562 *ἀπὸ*] *ὑπὸ VU* | *λιμοῦ*] corr. ex *αιμοῦ* aut *διμοῦ R* | *πορίζεις*] *πορίζῃς R* ‖ v. 563 *ἤδη*] om. *V* | *τοίνυν*] *τοί νυν V* | *περανῶ*] corr. ex *περάνω* $R^2$ | *σφῷν*] *σφῶϊν VA* *λόγον U* | *κἀναδιδάξω*] *κἀναδιδάξων· R* ‖ v. 564 inter *Πλούτου* et *δ'* inseruit *ἐστὶ* $R^4$ | *ἐστὶν*] om. *R* *ἔστιν A* | *ὑβρίζειν*] *ἐνυβρίζειν R* ‖ v. 565 *γοῦν*] *γοῦν V* | *κλέπτειν*] corr. ex *λέπτειν R* | *ἐστιν*] *ἐστὶ V* *ἐστι A* *ἐστί U* (*εστιν R*) | *τοὺς τοίχους*] *τοῖς τοίχοις V* | *διορύττειν.*] *διορύττειν; RV* *διορύττειν A* ‖ v. 566 *ΒΛΕ.*] om. *R* in rasura est in *V* *ἕτερος πρ*$^{ε}$/ est in *A* *γέρων ἕτερος* in *U* | *Δί', εἰ δεῖ λαθεῖν αὐτόν,*] *δί' εἴ γε λαθεῖν αὐτὸν δεῖ V* *δία γ' εἴ γε λαθεῖν αὐτὸν δεῖ, AU* | *πῶς οὐχὶ*] *πῶς οὐχι R* om. *V* *πῶς οὐ* est in *AU* | *ἐστι;*] *εστιν· R* *ἐστί· VU* *ἐστι· A* ‖ v. 567 *ταῖς*] *τοῖς U* | *πόλεσιν*] *πόλεσι RV* | *ὁπόταν*] *ὁπότ ἂν V* ‖

ὧσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι,
πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν παραχρῆμ' ἄδικοι γεγένηνται,
ἐπιβουλεύουσί τε τῷ πλήθει καὶ τῷ δήμῳ πολεμοῦσιν.

ΧΡΕ. ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδέν, καίπερ σφόδρα βάσκανος οὖσα.
ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει, μηδὲν ταύτῃ γε κομήσῃς,
ὁτιὴ ζητεῖς τοῦτ' ἀναπείθειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
πενία πλούτου. ΠΕΝ. καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου,
ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. ΧΡΕ. καὶ πῶς φεύγουσί σ' ἅπαντες;

ΠΕΝ. ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μάλιστα
ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα
αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.

ΧΡΕ. τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον·

---

ADNOTATIO CRITICA.

v. 573 ἀναπείθειν Porsonus.

---

SCRIPTURAE DISCREPANTIA.

v. 568 ὧσι] ὧσιν *R* | εἰσὶ] εἰσι *R* ‖ v. 569 παραχρῆμ'] παραχρῆμα *A* | γεγένηνται] γεγέννηνται *V* ‖ v. 570 ἐπιβουλεύουσί] ἐπιβουλεύουσίν *R* ἐπιβουλεύωσί *V* ‖ v. 571 ψεύδει] ψεύδῃ *VU* corr. $U^2$ ‖ v. 572 ἧττόν] ἥττον *V* | γ'] corr. ex ο *R* omm. *VAU* | κλαύσει,] κλαύσεις· *A* | ταύτῃ] ταύτη codd. | κομήσῃς,] κομήσῃς ras. corr. ut vid. ex κοσμήσῃς in *V* κομίσῃς est in *U* ‖ v. 573 ὁτιὴ] ὅτι γε *RVA* | ἀναπείθειν] ἀναπείσειν *RVU* ἀναπείσεις *A* | ἔστιν] εστιν *R* ἐστὶν *V* | ἀμείνων] ἄμεινον *R* ἄμεινον· *V* ‖ v. 574 *ΠΕΝ.*] supra versum adscr. *V* | περὶ] corr. ex παρὰ $A^2$ ‖ v. 575 πῶς] πως *R* ‖ v. 576 ποιῶ] ποῶ *RV* | ἔστι μάλιστα] ἐστὶ καὶ μάλιστα *R* εστὶ καὶ μάλιστα· *V* ἐστὶ μάλλιστα *U* ‖ v. 577 ἄριστα] ἄριστα· *V* ‖ v. 578 αὐτοῖς.] αὐτοῖς δ' *R* αὐτοῖς *V* | οὕτω] οὕτως *AU* | διαγιγνώσκειν] διαγινώσκειν *RVU* (sed οὕτω διαγιγνώσκειν lemma scholii in *R*) | ἐστὶ] εστι *R* | δίκαιον.] δίκαιον; *V* τὸ δίκαιον· *U* ‖ v. 579 ἆρ'] ἀρ corr. ex ἆρ *R* ἄρ' est in *AU* | διαγιγνώσκειν] διαγινώσκειν *RVU* | κράτιστον] in ras. est

κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει. ΒΛΕ. ταύτην δ' ἡμῖν ἀποπέμπει.
ΠΕΝ. ἀλλ' ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω,
ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ' ἤδη φανερῶς σε διδάξω.
εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα,
[ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,]
ἀνεκήρυττεν τῶν ἀσκητῶν τοὺς νικῶντας στεφανώσας
κοτινῷ στεφάνῳ; καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.
ΧΡΕ. οὐκοῦν τούτῳ δήπου δῆλος τιμῶν τὸν πλοῦτον ἐκεῖνος·
φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,
λήροις ἀναδῶν τοὺς νικῶντας τὸν πλοῦτον ἐᾷ παρ' ἑαυτῷ.
ΠΕΝ. πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι,

ADNOTATIO CRITICA.

v. 580 *ΒΛΕ.* Bentleius. — v. 583 *τὸν Ὀλυμπικὸν αὐτὸς ἀγῶνα* Kusterus. — v. 584 spurium esse intellexit Cobetus. — v. 586 et 592 *κοτινῷ* Porsonus. — v. 587 *δῆλος* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

*U* ‖ v. 580 *κἀκεῖνος*] *κακεῖνος R* | *ΒΛΕ.*] omm. codd. | *ἀποπέμπει*] *ἀποκομίζει V* ‖ v. 581 ante *λήμαις*] ras. deletum est *ὄν* aut *ὄντως* in *R* | in margine est: *γρ. γνώμαις* in *V* | *ὄντως*] omm. *VA* | *λημῶντες*] *λημῶντε R* ‖ v. 582 *Ζεὺς*] *ζεύς AU* | *τοῦτ' ἤδη*] *τοῦτο δήπου R* | *σε*] om. *R* ‖ v. 583 *πῶς ἂν*] *πῶς V πῶς γ' ἂν U* | *Ὀλυμπικὸν*] *ὀλυμπιακὸν AU* | *αὐτὸς τὸν ὀλυμπικὸν* tr. *RV* ‖ v. 584 totus versus errore omissus intra lineas adscriptus est in *V* | *ἅπαντας*] *πάντας V* | *δι' ἔτους*] *διέτους V* (*δι' ἑτους R*) | *ξυναγείρει*] *συναγείρει V ξυναγείρῃ AU* ‖ v. 585 *ἀνεκήρυττεν*] *ἀνεκήρυττε R ἀνεκήρυτε* corr. ex *ἀνεκήρυκε V* | *ἀσκητῶν*] *ἀθλητῶν VAU* superscr. *ἀσκητῶν* $U^2$ ‖ v. 586 *κοτινῷ στεφάνῳ;*] *κοτίνῳ στεφάνῳ* (lemma scholii: *κοτίνω στεφάνου*) *R κοτίνου στεφάνω V κοτίνω στεφάνω. A κοτίνω στεφάνω; U* | *καίτοι*] *καὶτοι A* ‖ v. 587 *τούτῳ*] *τοῦτο RV* (*τούτω AU*) | *δῆλος*] *δηλοῖ* codd. ‖ v. 588 *μηδὲν*] *μὴδεὺ R* ‖ v. 589 *ἑαυτῷ*] *ἑαυτοῦ V* ‖

εἰ πλούσιος ὢν ἀνελεύθερός ἐσθ' οὑτωσὶ καὶ φιλοκερδής.
ΧΡΕ. ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειεν κοτινῷ στεφάνῳ στεφανώσας.
ΠΕΝ. τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ' ἔστ' ἀγάθ' ὑμῖν
διὰ τὴν Πενίαν. ΧΡΕ. παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι,
εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη
τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν,
τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.
ἀλλὰ φθείρου καὶ μὴ γρύξῃς
ἔτι μηδ' ὁτιοῦν.
οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.
ΠΕΝ. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει.
ΧΡΕ. Παύσωνα κάλει τὸν ξύσσιτον.

---

ADNOTATIO CRITICA.

v. 592 ἀλλὰ σέ γ' Iuntina. — v. 598 γρύξῃς Brunckius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 591 ἐσθ'] ἔσθ' *RAU* ἔσθ *V* | οὑτωσὶ] οὑτοσι *R* οὑτοσὶ *VA* ‖ v. 592 ἀλλὰ σέ γ' ὁ] ἀλλά σ' ὁ *RV* ἀλλά σε ὁ *A* αλλά σ' ὁ *U* | ἐξολέσειεν] ἐξολέσειε *RV* | κοτινῷ] κοτίνῳ *R* κοτίνω *VU* κοτίνου *A* ‖ v. 593 πάντ'] πάντες *R* corr. $R^2$ | ἔστ'] εστὶ *V* ἐστ' *U* | ἀγάθ'] τἀγάθ *V* ‖ v. 594 *ΧΡΕ.*] omissum postea inseruit *R* supra versum adscr. *V* om. *A* | Ἑκάτης] ἑκάτης *R* | ἔξεστιν] ἔξεστι codd. ‖ v. 595 εἴτε] utroque loco ex ἐστὶ εἶτε corr. *R* | πεινῆν] corr. ex πεινᾶν ut vid. *V* πεινῆν *U* | φησὶ] φησί *A* | αὕτη] αὐτῆι *R* ‖ v. 596 κατὰ μῆν' ἀποπέμπειν,] κατα μῆνα προσάγειν. *R* κατα μῆν' ἀπὸ πέμπειν superscripto γρ. κατὰ μῆνα προσάγειν *V* κατα μῆν' ἀποπέμπειν *A* κατὰ μῆνα προσπέμπειν *U* ‖ verba ab ἀλλὰ (v. 598) usque ad πείσεις incl. (v. 600) unum versum efficiunt in *V* ab ἀλλὰ usque ad ὁτιοῦν (v. 599) in *AU* ‖ v. 598 γρύξῃς] γρύζῃς *R* γρύζεις *V* γρύζης *AU* ‖ v 599 μηδ'] μὴ δ' *RAU* μηδ *V* | ὁτιοῦν] ὅτι οὖν *R* ‖ v. 600 ἢν] ἤν *V* ‖ v. 601 πόλις] mut. in πόλεις $R^2$ | λέγει.] mut. in λέγει; $R^3$ aut $R^4$ λέγει;

ΠΕΝ. τί πάθω τλήμων;
ΧΡΕ. ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.
ΠΕΝ. εἶμι δὲ ποῖ γῆς;
ΧΡΕ. ἐς τὸν κύφων'· ἀλλ' οὐ μέλλειν
χρή σ', ἀλλ' ἀνύειν.
ΠΕΝ. ἦ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθοῖ
μεταπέμψεσθον.
ΧΡΕ. τότε νοστήσεις· νῦν δὲ φθείρου.
κρεῖττόν γάρ μοι πλουτεῖν ἐστίν,
σὲ δ' ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.
ΒΛΕ. νὴ Δί' ἐγὼ γοῦν ἐθέλω πλουτῶν
εὐωχεῖσθαι μετὰ τῶν παίδων
τῆς τε γυναικός, καὶ λουσάμενος
λιπαρὸς χωρῶν ἐκ βαλανείου
τῶν χειροτεχνῶν
καὶ τῆς Πενίας καταπαρδεῖν.
ΧΡΕ. αὕτη μὲν ἡμῖν ἡπίτριπτος οἴχεται.
ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν
ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.

---

SCRIPTURAE DISCREPANTIA.

exhibent etiam *VA* ‖ v. 603 πάθω] corr. ex πάσχω ut vid. *V* ‖ v. 604 ἔρρ'] om. *U* | ἐς] εἰς *U* | κόρακας] κόρας *R* corr. $R^2$ ‖ vv. 605 et 606 unum versum efficiunt in *V* ‖ v. 606 inter τὸν et κυφῶν' deletum est ο in *R* | κυφῶν'] κύφων' *R* corr. $R^2$ (κυφῶν lemma scholii in *R*) ‖ verba a χρή σ' (v. 607) usque ad ἔτι μ' incl. (v. 608) unum versum efficiunt in *A* ‖ v. 607 χρή σ',] χρῆν σ' *V* | ἀνύειν.] ανύειν· *R* ἀνύττειν· *V* ἀνύειν. corr. ex ἀνύειν $A^2$ ἀνύτειν. est in *U* ‖ v. 608 ἦ μὴν] ἥμιν *R* corr. in ἦμην $R^3$ ἢ μὴν est in *V* ἦ μῆν in *U* | post ἐνταυθοῖ, qua voce novus versus incipit, spatium quinque fere litterarum relic. est in *A* ‖ vv. 610, 611, 612 duos versus efficiunt, quorum prior est usque ad vocem μοι incl. *V* ‖ v. 611 ἐστίν,] ἐστι *R* ἐστὶν *V* ἐστιν *A* ἐστί. *U* ‖ v. 612 σὲ] σέ *AU* | ἐᾶν κλάειν] εᾶν κλᾶειν *V* ἀνακλάειν *U* ‖ v. 613 ἐγὼ γοῦν] ἔγωγ' οὖν *RU* ἔγωγ οὖν *V* ‖ v. 614 παίδων] παιδίων *R* παιδίων· *V* | τῆς τε] καὶ τῆς τε *V* | καὶ λουσάμενος] λουσάμενός τε *V* ‖ vv. 615 et 616 unum versum efficiunt in *A* ‖ v. 616 λιπαρὸς anteced. versui contin. et verba a χωρῶν usque ad χειροτεχνῶν: in unum versum coniungit *V* | vv. 617 et 618 unum versum efficiunt in *U* ‖ v. 619 ἡπίτριπτος] ἡ 'πίτριπτος *AU* ‖ v. 620 ἐγὼ] ἐγώ *AU* | σύ γ'] σὺ γ *V* ‖ v. 621 ἐγκατακλινοῦντ'] ἐγκατακλινοῦντες *RAU* ‖

ΒΛΕ. καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προὔργου ποιεῖν.
ΧΡΕ. παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν ἐχρῆν,
αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
καὶ τἄλλ' ὅσ' ἐστὶν ἔνδον εὐτρεπισμένα.
(ὄρχημα χοροῦ.)
ΚΑΡ. ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι
γέροντες ἄνδρες ἐπ' ὀλιγίστοις ἀλφίτοις,
ὡς εὐτυχεῖθ', ὡς μακαρίως πεπράγατε,
ἄλλοι θ' ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.
ΚΟΡ. τί δ' ἔστιν ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.
ΚΑΡ. ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,
μᾶλλον δ' ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ
ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.
ΧΟΡ. λέγεις μοι χαράν, λέγεις ποι βοάν.
ΚΑΡ. πάρεστι χαίρειν, ἤν τε βούλησθ' ἤν τε μή.
ΧΟΡ. ἀναβοάσομαι τὸν εὔπαιδα καὶ

---

ADNOTATIO CRITICA.

v. 630 ἄλλοι Meinekius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 622 *ΒΛΕ.*] om. *U* | τις] τίς *VU* ‖ v. 623 διακωλύσῃ τι] διακωλύσεὶε *R* διακωλύσῃ τί *VAU* | προὔργου] προῦργου *R* προὔργου *VAU* | ποιεῖν] ποεῖν codd. ‖ v. 624 *ΧΡΕ.*] om. *U* ‖ v. 625 αὐτόν] corr. ex αὐτὸν *R* (αὐτὸν est in *V*) ‖ v. 626 τἄλλ'] τάλλ' *R* τᾶλλ' *V* τ' ἄλλ' *U* | ἐστὶν] ἐστιν *RA* | ἔνδον] ἐνδον *R* | εὐτρεπισμένα] εὐπρεπισμένα *R* ηὐτρεπισμένα *AU* | (ὄρχημα χοροῦ.)] omm. codd. ‖ v. 627 *ΚΑΡ.*] κ/ᵅ θ/ᵋ *A* θερ/ πρὸς τὸν χόρον *U* | Θησείοις] θεισίοις *R* corr. *R*² (θησείοις exhibet etiam lemma scholii in *R*) θυσείοις est in *U* | μεμυστιλημένοι] μεμυστυλλημένοι *U* ‖ v. 628 ἐπ' ὀλιγίστοις] ἐπολιγίστοις *V* ‖ v. 629 supra ὡς utroque loco scripsit λίαν *U*² | πεπράγατε μακαρίως tr. *V* | supra πεπράγατε scripsit ἐπράξατε *U*² ‖ v. 630 ἄλλοι] ἄλλοι codd. ‖ v. 631 *ΚΟΡ.*] χορὸς codd. | ἔστιν] εστιν *R* ἐστὶν *VU* ἐστιν *A* | φίλων;] φίλων· *R* φίλων *V* τρόπων *A* ‖ v. 632 supra ἥκειν scripsit ἐκθεῖν *U*² | τινος.] τινός· *R* τινός *V* τινὸς *U* ‖ v. 635 ἐξωμμάτωται] corr. ex ἐξομμάτωται *R* | λελάμπρυνται] λελάμπρυται *RVA* ‖ v. 636 εὐμενοῦς] εὐμενοὺς *R* ‖ v. 638 βούλησθ'] βούληθ' *R* ‖ v. 639 ἀναβοάσομαι] ἀναβοήσομαι

μέγα βροτοῖσι φέγγος Ἀσκληπιόν.
ΓΥ. τίς ἡ βοή ποτ' ἐστίν; ἆρ' ἀγγέλλεται
χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι
ἔνδον κάθημαι περιμένουσα τουτονί.
ΚΑΡ. ταχέως ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
καὐτὴ πίῃς· φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα·
ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
ΓΥ. καὶ ποῦ 'στιν; ΚΑΡ. ἐν τοῖς λεγομένοις· εἴσει τάχα.
ΓΥ. πέραινε τοίνυν ὅ τι λέγεις ἀνύσας ποτέ.
ΚΑΡ. ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
ΓΥ. μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. ΚΑΡ. μὴ τἀγαθὰ
ἃ νῦν γεγένηται; ΓΥ. μὴ μὲν οὖν τὰ πράγματα.
ΚΑΡ. ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεὸν
ἄγοντες ἄνδρα τότε μὲν ἀθλιώτατον,
νῦν δ' εἴ τιν' ἄλλον μακάριον κεὐδαίμονα,
πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν,
ἔπειτ' ἐλοῦμεν. ΓΥ. νὴ Δί' εὐδαίμων ἄρ' ἦν

ADNOTATIO CRITICA.

v. 641 ἆρ' Aldina. — v. 647 λεγομένοις· Meinekius.

SCRIPTURAE DISCREPANTIA.

*U* ‖ v. 640 μέγα anteced. versui contin. *V* | Ἀσκληπιόν.] ἀσκληπιόν· *R* ἀσκληπιόν; *V* ἀσκληπιόν *A* ‖ v. 641 ΓΥ.] γυνὴ ☿ *R* γυνὴ χρ: *V* χρ *A* | τίς] τὶς *V* | βοή] mut. in βοὴ *R* βοὴ est in *V* | ποτ'] πότ' *RA* | ἐστίν;] ἔστιν· *RA* εστὶν *V* | ἆρ' ἀγγέλλεται] ἆρά γ' ἀγγέλλεται *R* ἆρα γ ἀγγελεῖ *V* ἆρά γ' ἀγγελεῖ *AU* ‖ v. 642 χρηστόν τι; anteced. versui contin. *V* | τι;] τι· *A* ‖ v. 643 ἔνδον κάθημαι anteced. versui contin. *V* | τουτονί] corr. ex τοῦτονί *R* ‖ v. 644 ταχέως] corr. ex τάχεως *V* ‖ v. 645 καὐτὴ πίης: anteced. versui contin. *V* | αὐτὸ] αὐτὸν *RA* corr. in αὐτὸ *R*4 ‖ v. 647 'στιν;] 'στιν· *R* 'στιν: *V* 'στιν· ἐν sed minio deletum est ἐν *A* | ΚΑΡ.] supra versum adscr., item notae perss. in mediis versibus 651, 652, 657 in *V* | λεγομένοις·] λεγομένοις codd. | εἴσει] εἴσηι *V* εἴσῃ *A* ‖ v. 648 ὅτι] ὅ, τι *A* ‖ v. 650 ἐκ τῶν anteced. versui contin. *V* | ἐς] εἰς *AU* | σοι] mut. in σοῦ *R*4 ‖ v. 651 μὴ] μή *A* | δῆτ'] δήτ' *R* | ἔμοιγ'] ἔμοιγε *R* | ἐς] εἰς *U* | ΚΑΡ.] οικ./ supra versum inserit *R* | μὴ] μή *RVA* | τἀγαθὰ] τ' ἀγαθα *R* corr. in τ' ἀγαθὰ *R*4 ‖ v. 653 ἀφικόμεθα] ἀφικόμεσθα *R* ‖ v. 655 κεὐδαίμονα] κ' εὐδαίμονα· *R* εὐδαίμονα *V* ‖ v. 657 ἐλοῦμεν.] ἐλοῦμεν: *V* | νὴ] νή *A* | ἄρ'] ἂρ *R* mut. in ἂρ' *R*4 ἆρ' est in *VA* ‖

ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.
ΚΑΡ. ἔπειτα πρὸς τὸ τέμενος ᾖμεν τοῦ θεοῦ.
ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
καθωσιώθη, πέλανος Ἡφαίστου φλογί,
κατεκλίναμεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν·
ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.
ΓΥ. ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;
ΚΑΡ. εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός,
κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντικεν·
ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
ἔχοντες· ὡς δὲ τοὺς λύχνους ἀποσβέσας
ἡμῖν παρήγγειλ' ἐγκαθεύδειν τοῦ θεοῦ
ὁ πρόπολος, εἰπών, ἤν τις αἴσθηται ψόφου,
σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην, ἀλλά με
ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη
ὀλίγον ἄπωθεν τῆς κεφαλῆς του γρᾳδίου,
ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.
ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα

ADNOTATIO CRITICA.

v. 669 παρήγγειλ' ἐγκαθεύδειν Porsonus.

SCRIPTURAE DISCREPANTIA.

v. 658 λούμενος·] mut. in λουόμενος· $R^4$ λουόμενος. est in *U* ‖ v. 659 ᾖμεν] ἦμεν *VU* ‖ v. 660 πόπανα] ras. corr. ex πώπανα *R* | προθύματα] sic codd. (ἐπεὶ δὲ βωμῷ προθύματα καθωσιώθη κ. τ. λ. θηλύματα (sic) πλακοῦς κ. τ. λ. scholium in *R*) ‖ v. 661 καθωσιώθη,] καθωσιώθη codd. | πέλανος] πελανὸς *R* super πέλανος scripsit εἶδος θύματος $U^2$ ‖ v. 662 κατεκλίναμεν] κατεκλίνομεν *AU* | v. 663 παρεκαττύετο] ἐκαττύετο lemma scholii in *R* ‖ v. 664 ΓΥ.] omm. *RU* add. $R^2$ | κἄλλοι] κ' ἄλλοι *R* ᵏἄλλοι *V* ‖ v. 665 ΚΑΡ.] omm. *RU* add. $R^2$ | μέν γε] μέντοι γε *V* | ὅς ἐστι] ὃς ἔστι *R* ὃς ἐστὶ *VU* ὃς ἐστι corr. ex ὃς μτι *A* ‖ v. 666 ὑπερηκόντικεν·] corr. ex ὑπερήκόντισεν· *R* ὑπερηκόντισεν· est in *U* (ὑπερηκόντικεν *VA*) ‖ v. 667 πολλοὶ] corr. ex πολλοί *R* ‖ v. 668 ἀποσβέσας] ἀποσβέσαι *R* ‖ v. 669 παρήγγειλ' ἐγκαθεύδειν] παρήγγειλεν καθεύδειν *RA* παρήγγειλε καθεύδειν *VU* ‖ v. 670 ὁ anteced. versui contin. *V* | πρόπολος] πρόσπολος *VAU* ‖ v. 672 κἀγὼ] καγὼ *RVU* | ἐδυνάμην,] ἠδυνάμην· *V* ‖ v. 673 ἀθάρης] (sic *U*) ἀθάρας *RVA* | τις] τίς *VU* ‖ v. 674 κεφαλῆς] φαλῆς *U* | του] τοῦ *RA* | γρᾳδίου,] γραϊδίου. *R* γρᾳδίου· *V* γραϊδΐου *A* ‖ v. 676 ἱερέα] ἱερέα τοῦ θεοῦ

τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας
ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
εἴ που πόπανον εἴη τι καταλελειμμένον·
ἔπειτα ταῦθ᾽ ἥγιζεν εἰς σακτάν τινα.
κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος
ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.
ΓΥ. ταλάντατ᾽ ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;
ΚΑΡ. νὴ τοὺς θεοὺς ἔγωγε μὴ φθάσειέ με
ἐπὶ τὴν χύτραν ἐλθὼν ἔχων τὰ στέμματα.
ὁ γὰρ ἱερεὺς αὐτοῦ με προὐδιδάξατο.
τὸ γρᾴδιον δ᾽ ὡς ᾐσθάνετό μου τὸν ψόφον,
ἄρας ὑφῄρει· κᾆτα συρίξας ἐγὼ
ὀδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις.
ἡ δ᾽ εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασεν,
κατέκειτο δ᾽ αὑτὴν ἐντυλίξασ᾽ ἡσυχῇ,
ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
κἀγὼ τότ᾽ ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων·

ADNOTATIO CRITICA.

v. 687 nescio an pro αὐτοῦ scribendum sit: αὐτός. — v. 688 ᾐσθάνετό Porsonus. — v. 689 ἄρας ὑφῄρει Dobraeus.

SCRIPTURAE DISCREPANTIA.

*R* ‖ v. 678 τοῦτο] ταῦτα *V* | δὲ] δέ *A* ‖ v. 680 τι] τί *RAU* om. *V* ‖ v. 681 ταῦθ᾽] ταῦτ᾽ *RV* | ἥγιζεν] ηίτιζεν *R* ἥικιζεν (in rasura est κ α *V*³) in *V* | σακτάν] σακταν *R* corr. in σάκταν *R*⁴ ᶜακτάν (super α rasura est) *V* σάκταν est in *AU* ‖ v. 682 κἀγὼ] καγὼ *RVA* ‖ v. 683 τὴν (ante τῆς)] om. *U* | ἀθάρης] (sic *RU*) ἀθάρας *VA* ‖ v. 684 θεόν;] corr. ex θεὸν; *R* θεόν· est in *V* ‖ v. 687 προὐδιδάξατο] προυδιδάξατο *RA* ‖ v. 688 γρᾴδιον] γραΐδιον *V* γράϊδιον *RA* | δ᾽] δὲ *R* | ᾐσθάνετό μου] ᾔσθετό μου *RV* ᾔσθετο δή μου *AU* ‖ v. 689 ἄρας] τὴν χεῖρ᾽ *RVAU* | ὑφῄρει] (sic *BU*) ὑφήρει *VA* et lemma scholii in *R* | κᾆτα] κἄτα (cum lemmate scholii) *R* κάτα *V* κᾆτα *AU* | συρίξας] συρρίξας (cum lemmate scholii) *R* ‖ v. 690 ἐλαβόμην] corr. ex ελαβόμην *R*⁴ ‖ v. 691 ἡ δ᾽] ἥδ᾽ *RAU* ἥδ *V* | ἀνέσπασεν] (sic *RV*) ἀνέσπασε *AU* ‖ v. 692 κατέκειτο] κᾆτ᾽ ἔκειτο *R* | δ᾽] om. *R* | αὑτὴν] αὐτὴν *RA* | ἐντυλίξασ᾽] ἐντυλίξασα *R* συντυλίξασ᾽ *V* | ἡσυχῇ] (sic *R*) ἡσυχῆ *VAU* ‖ v. 694 κἀγὼ] καγὼ *RV* | ἀθάρης] ἀθάρας *RVA* ἀθάρης (ας supra) *U* ‖

ἔπειτ᾽ ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.
ΓΥ. ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν; ΚΑΡ. οὐδέπω.
μετὰ τοῦτο δ᾽ ἤδη καὶ γέλοιον δῆτά τι
ἐποίησα. προσιόντος γὰρ αὐτοῦ μέγα πάνυ
ἀπέπαρδον· ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.
ΓΥ. ἦ πού σε διὰ τοῦτ᾽ εὐθὺς ἐβδελύττετο.
ΚΑΡ. οὔκ, ἀλλ᾽ Ἰασὼ μέν τις ἀκολουθοῦσ᾽ ἅμα
ὑπηρυθρίασε χἠ Πανάκει᾽ ἀπεστράφη
τὴν ῥῖν᾽ ἐπιλαβοῦσ᾽· οὐ λιβανωτὸν γὰρ βδέω.
ΓΥ. αὐτὸς δ᾽ ἐκεῖνος — ΚΑΡ. οὐ μὰ Δί᾽ οὐδ᾽ ἐφρόντισεν.
ΓΥ. λέγεις ἄγροικον ἄρα σύ γ᾽ εἶναι τὸν θεόν.
ΚΑΡ. μὰ Δί᾽ οὐκ ἔγωγ᾽, ἀλλὰ σκατοφάγον. ΓΥ. αἶ τάλαν.
ΚΑΡ. μετὰ ταῦτ᾽ ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην
δείσας, ἐκεῖνος δ᾽ ἐν κύκλῳ τὰ νοσήματα
σκοπῶν περιῄει πάντα κοσμίως πάνυ.
ἔπειτα παῖς αὐτῷ λίθινον θυΐδιον
παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.

---

ADNOTATIO CRITICA.

v. 697 *γέλοιον* Dindorfius. — v. 704 *ἐκεῖνος* — Porsonus.

---

SCRIPTURAE DISCREPANTIA.

v. 695 totum versum om. *A* | *ἀνεπαυόμην*] *ἀνεπαλλόμην* *RV* in margine *γρ. ἀνεπαυόμην* adscr. *R*⁴*V* (*ἀνεπαυόμην* est in *U*) ‖ v. 696 *ΓΥ.*] *χ R γυ* praefixit *R*⁴ | *προσῄειν;*] *προσῄει γ᾽· R προσήειν; V προσήει, AU* | *ΚΑΡ.*] *οικ./ R* ‖ v. 697 *γέλοιον*] *γελοῖον* codd. | *δῆτά*] om. *V* ‖ v. 698 *ἐποίησα*] *ἐπόησα* codd. | *ἐπόησα* anteced. versui contin. *V* ‖ v. 699 *ἐπεφύσητό*] *ἐπεφύσσητό U* ‖ v. 700 *πού*] *που* codd. | *διὰ*] *καὶ δια U* ‖ v. 701 *οὔκ,*] *οὔκ᾽ V* | *τις ἀκολουθοῦσ᾽*] (sic *AU*) *γέ τις ἀκολουθοῦσ᾽ R γε ἀκολουθοῦσ᾽ V* ‖ v. 702 *ὑπηρυθρίασε*] *ὑπερυθρίασε R ὑπορυθρίασε· V ὑπηριθρίασε· A* | *χἠ*] *χ᾽ ἡ RAU χή V* ‖ v. 704 *ΓΥ.*] om. *R* add. *R*⁴ | *αὐτὸς*] *αὐτός A* | *ἐκεῖνος —*] *ἐκεῖνος R ἐκεῖνος; VAU* | *ΚΑΡ.*] om. *R* supra versum adscr. *V* | hunc versum in duos versus dirimit, quorum alter incipit vocc. *ΚΑΡ. οὔ μὰ U* | *οὐ*] *οὔ AU* | *ἐφρόντισεν.*] *ἐφρόντισε· RU εφρόντισε V* ‖ v. 705 *ἄγροικον*] *ἀγροῖκον RV* | *ἄρα*] *ἆρα RVA* | *σύ*] om. *U* | *θεόν.*] *θεόν; VA* ‖ v. 706 *οὐκ*] *ἀλλ᾽ οὐκ U* | *ἔγωγ᾽,*] *έγωγε· R ἔγωγ᾽· V έγωγ᾽ U* | *ΓΥ.*] supra versum adscr. *V* | *αἶ*] *αἶ RVU* | *ΓΥ. αἶ τάλαν* inseq. versui add. *U* ‖ v. 707 *ΚΑΡ.*] om. *V* | *ἐγὼ μὲν εὐθὺς*] *εὐθὺς ἐγὼ μὲν* tr. *RAU* | *ἐνεκαλυψάμην*] *συνεκαλυψάμην AU* ‖ v. 708 *δ᾽ ἐν*] *δὲ RV* | *κύκλῳ*] *κύκλω VAU* ‖ v. 709 *περιῄει*] *περιήει* codd. ‖ v. 710 *αὐτῷ*] *αὐτο*

*ΓΥ.* λίθινον; *ΚΑΡ.* μὰ Δί᾽ οὐ δῆτ᾽, οὐχὶ τό γε κιβώτιον.
*ΓΥ.* σὺ δὲ πῶς ἑώρας, ὦ κάκιστ᾽ ἀπολούμενε,
ὃς ἐγκεκαλύφθαι φῄς; *ΚΑΡ.* διὰ τοῦ τριβωνίου.
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας μὰ τὸν Δία.
πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
σκορόδων κεφαλὰς τρεῖς Τηνίων. ἔπειτ᾽ ἔφλα
ἐν τῇ θυΐᾳ συμπαραμιγνύων ὀπὸν
καὶ σχῖνον· εἶτ᾽ ὄξει διέμενος Σφηττίῳ,
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ᾽ ἐκστρέψας, ἵνα
ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν
ἔφευγ᾽ ἀνᾴξας· ὁ δὲ θεὸς γελάσας ἔφη·
ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος,
ἵν᾽ ὑπομνύμενον παύσω σε ταῖς ἐκκλησίαις.
*ΓΥ.* ὡς φιλόπολίς τίς ἐσθ᾽ ὁ δαίμων καὶ σοφός.
*ΚΑΡ.* μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαθέζετο,
καί πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο,
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν

---

ADNOTATIO CRITICA.

v. 725 ὑπομνύμενον Girardus. — ταῖς ἐκκλησίαις scholiasta. — v. 727 fortasse pro *Πλούτωνι* scribendum est: *Πλούτῳ τι* cfr. *ταχύ* v. 746.

---

SCRIPTURAE DISCREPANTIA.

*R* | θυΐδιον] θυίδιον *R* θυείδιον *VAU* ‖ v. 712 totum versum om. *R* | *ΚΑΡ.*] supra versum adscr. *V* ‖ v. 713 ἑώρας] εώρας (γρ. καὶ εώρακας scholium) *R* | ὦ] om. *U* ‖ v. 714 ἐγκεκαλύφθαι] ἐγκαλύφθαι *V* | φῄς] φής *VAU* ‖ v. 715 εἶχεν οὐκ ὀλίγας] οὐκ ὀλίγας εἶχε *R* οὐκ ὀλίγας εἶχε *A* οὐκ ὀλίγας εἶχεν *U* ‖ v. 717 καταπλαστὸν] κατάπλαστον *R* | ἐνεχείρησε] ἐνεχείρισε *R* ἐνιχείρισε corr. ex ἐνιχείρησε *V* | ἐμβαλὼν] ἐκβαλών· *V* ‖ v. 719 θυΐᾳ] θυίαι mut. ex θυῖαι *R* θύα *V* θυεία *AU* | ὀπὸν] ὀπον· *R* ὀπόν. *A* ‖ v. 720 εἶτ᾽] εἰτ᾽ *R* εἴτ᾽ *V* ‖ v. 721 κατέπλασιν] κατέπλασ᾽ *U* | βλέφαρ᾽] βλέφαρα *R* | ἐκστρέψας] ἐκτρέψας *RV* ‖ v. 722 ὀδυνῷτο] ὀδυνῶτο *VAU* | ὁ δὲ] ὁ δε *R* ‖ v. 723 ἀνᾴξας] ἀναΐξας *RVAU* | ὁ δὲ] ὁ δε *R* ‖ v. 724 κάθησο] καθῆσο *A* | καταπεπλασμένος,] πεπλασμένος· *V* ‖ v. 725 ὑπομνύμενον] ἐπομνύμενον *RAU* ἐπομνύμενον, *V* | ταῖς ἐκκλησίαις] τὰς εκκλησίας *R* τὰς ἐκκλησίας *VU* τῆς ἐκκλησίας *A* ‖ v. 726 *ΓΥ.*] om. *R* add. *R*[4] | τίς ἐσθ᾽] τις ἔσθ᾽ *R* τις ἔσθ *V* τίς ἔσθ᾽ *AU* | σοφός.] σοφὸς; *V* ‖ v. 727 *ΚΑΡ.*] om. *A* | τοῦτο] ταῦτα *V* τοῦτο, *A* ‖ v. 728 δὴ] om. *R* ‖ v. 729 ἡμιτύβιον] ἡμιτύμβιον codd. (sed ἡμιτύβιον lemma scholii

τὰ βλέφαρα περιέψησεν· ἡ Πανάκεια δὲ
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ
ὑπερφυεῖς τὸ μέγεθος. ΓΥ. ὦ φίλοι θεοί.
ΚΑΡ. τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῇ
τὰ βλέφαρα περιέλειχον, ὥς γ' ἐμοὐδόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα
ὁ Πλοῦτος, ὦ δέσποιν', ἀνεστήκει βλέπων·
ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως
ἠφάνισεν αὑτὸν οἵ τ' ὄφεις εἰς τὸν νεών.
οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ πῶς δοκεῖς
τὸν Πλοῦτον ἠσπάζοντο καὶ τὴν νύχθ' ὅλην
ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
ἐγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα,

---

ADNOTATIO CRITICA.

v. 736 γ' ἐμοὐδόκει Dindorfius.

---

SCRIPTURAE DISCREPANTIA.

in *R*) ‖ v. 730 τὰ] ras. corr. ex τὰς ut vid. in *R* | περιέψησεν·] περιέψησεν: ἀπέματτεν:∼ *V* | verba ἡ Πανάκεια δὲ inseq. versui add. *V* ‖ v. 731 κατεπέτασ'] κατέπασσ' *R* κατέπλασ' *V* ‖ v. 732 εἶθ'] εἶτ' *R* | ἐπόππυσεν.] επόσπυσεν· *R* ‖ v. 733 ἐξηξάτην] ἐξηξάτην *RVA* | οὖν] om. *R* | νεὼ] corr. ex νεώ *R* νεώ:∼ est in *V* νεώ in *A* ‖ v. 734 θεοί.] θεοὶ *V* ‖ post v. 734 unius versus
ε οὗτοι
spatium rel. est in *U* ‖ v. 735 *ΚΑΡ.*] οικ *R* ‖ τούτω] τούτω *U* | ἡσυχῇ] (sic *R*) ἡσυχῆ *VAU* ‖ v. 736 ὥς γ' ἐμοὐδόκει·] ὥς γ' ἐμοι δοκεῖ *R* ὥς γ' εμοὶ δοκεῖ· *V* ὥστ' ἐμοὶ δοκεῖ *AU* ‖ v. 737 πρίν] πρὶν *R* | δέκα] δεκα· *R* ‖ v. 738 δέσποιν', ἀνεστήκει] δίσποινά γ' ἑστήκει *AU* ‖ v. 739 ἡδονῆς] corr. ex ἡδονὴς *R* ‖ v. 740 δεσπότην] corr. ex δ' εσπότην *R* | (θεός δ' *A* et *U*, ut solent, velut v. 739 ἐγώ δε, id quod non adnotabo) ‖ v. 741 ἠφάνισεν] superscr. γρ. ἠφάντωσεν $U^2$ | αὑτὸν] αὐτὸν *RU* αὐτὸν· *VA* | νεών] mut. in νεὼν *R* νεὼν est in *V* νεών *A* ‖ v. 742 οἱ
γ
δ'] οἳ δ' *R* | ἐγκατακείμενοι] εκατακείμενοι *V* | παρ' αὐτῷ] παραυτῶ *R* | δοκεῖς] corr. ex δὸκεῖς *R* ‖ v. 744 ἐγρηγόρεσαν] ἐγρηγόρησαν *V* | διέλαμψεν] διελαμψεν corr. ex δι' ελαμψεν *R* ‖

ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχύ,
τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησεν τυφλόν.
ΓΥ. ὅσην ἔχεις τὴν δύναμιν, ὦναξ δέσποτα.
ἀτὰρ φράσον μοι, ποῦ ᾿σθ᾿ ὁ Πλοῦτος; ΚΑΡ. ἔρ-
χεται.
ἀλλ᾿ ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
οἱ γὰρ δίκαιοι πρότερον ὄντες καὶ βίον
ἔχοντες ὀλίγον αὐτὸν ἠσπάζοντο καὶ
ἐδεξιοῦνθ᾿ ἅπαντες ὑπὸ τῆς ἡδονῆς·
ὅσοι δ᾿ ἐπλούτουν οὐσίαν τ᾿ εἶχον συχνὴν
οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
ὀφρῦς συνῆγον ἐσκυθρώπαζόν θ᾿ ἅμα.
οἱ δ᾿ ἠκολούθουν κατόπιν ἐστεφανωμένοι,
γελῶντες, εὐφημοῦντες· ἐκτυπεῖτο δὲ
ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
ἀλλ᾿ εἶ᾿ ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
ὀρχεῖσθε καὶ σκιρτᾶτε καὶ χορεύετε·
οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ
ὡς ἄλφιτ᾿ οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
ΓΥ. νὴ τὴν Ἑκάτην, κἀγὼ δ᾿ ἀναδῆσαι βούλομαι
εὐαγγέλιά σε κριβανωτῶν ὁρμαθῷ,

---

SCRIPTURAE DISCREPANTIA.

v. 746 ὅτι] ὁτι *R* | ἐποίησε] ἐπόησε *RV* | Πλοῦτον] πλοῦτον τυφλὸν sed deletum est τυφλὸν *R* ‖ v. 747 ἐποίησεν] ἐπόησεν *R* ἐπόησε *V* ἐποίησε *U* | ἐπόησε μᾶλλον tr. *V* ‖ v. 748 ΓΥ.] γῦ (ω supra) (sic) *R* | ἔχεις] ἔχει *V* | ὦναξ] ὤναξ *R* ὠ ʺναξ *A* ὦ ʺναξ *U* ‖ v. 749 ποῦ ᾿σθ᾿] ποῦσθ᾿ *RV* | *KAP.*] supra versum adscr. *V*, item in v. 766 ‖ v. 750 ἦν] corr. ex ἧν *V* | περὶ αὐτὸν] περιαυτὸν *R* | ὑπερφυὴς] ὑπερφυῆς *R* ‖ v. 751 οἱ] οἳ *R* | ὄντες] ὅτε *R* in marg. adscr. ὄντες *R*[4] ‖ v. 753 ἐδε (in ἐδεξιοῦνθ᾿) anteced. versui contin. *V* | ὑπὸ τῆς] ὑποτῆς *R* ‖ v. 754 τ᾿] δ᾿ *R* | συχνὴν] συχνήν· *V* συχνήν, *A* ‖ v. 755 totum versum om. *R* in marg. add. *R*[4] om. *A* ‖ v. 757 οἱ] οἳ *R* οἵ *VAU* ‖ v. 758 δὲ] δε· *R* ‖ v. 760 εἶ᾿] εἶ *R* εἰ *V* εἶ᾿ *A* | ἁπαξάπαντες] ἅπαξ ἅπαντες *R* | ἐξ ἑνὸς] ἐξενὸς *R* ‖ v. 761 σκιρτᾶτε] σκιρτάτε *V* ‖ v. 762 οὐδεὶς] οὐδεῖς *R* | ὑμῖν,] corr. ex ἡμῖν, *A* ἡμῖν est in *U* ‖ v. 764 Ἑκάτην] εκάτην *R* | κἀγὼ] κἀγω *R* καγὼ *VU* | δ᾿] γ᾿ *VA* σ᾿ *U* ‖ v. 765 εὐαγγέλιά σε] εὐαγγελίας *U* (εὐαγγέλια σε *RV*) | κριβανωτῶν] ἐκ (corr. ex ἐν) κριβανωτῶν *V* ἐν κριβανωτῶν *AU* | ὁρμαθῷ,] ὀρμαθῶ *R* mut. in ὀρμαθῶν *R*[1] ὀρμάθω· est in *V* ὀρμαθῶ· in *A* ‖

τοιαῦτ' ἀπαγγείλαντα. *ΚΑΡ.* μή νυν μέλλ' ἔτι,
ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
*ΓΥ.* φέρε νυν ἰοῦσ' εἴσω κομίσω καταχύσματα
ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς χρεών.
*ΚΑΡ.* ἐγὼ δ' ὑπαντῆσαί γ' ἐκείνοις βούλομαι.
(ὄρχημα χοροῦ.)
*ΠΛ.* καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.
αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ συμφοράς,
οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον,
τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
ἔφευγον, εἰδὼς οὐδέν· ὦ τλήμων ἐγώ.
ὡς οὔτ' ἐκεῖν' ἄρ' οὔτε ταῦτ' ὀρθῶς ἔδρων·
ἀλλ' αὖ τὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ
δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις ὅτι

ADNOTATIO CRITICA.

v. 766 *νυν* Aldina. — v. 767 *ἄνδρες* Dindorfius. — v. 768 *νυν* Hemsterhusius. — v. 769 *χρεών* mea coniectura est. — v. 770 *ὑπαντῆσαι* Meinekius. — v. 771 nescio an *καὶ* ortum sit ex scholio quodam vel parepigraphe: *εἰσίασι Πλοῦτος καὶ Χρεμύλος*, quod suo loco moverit: *νῦν* voc. — v. 779 *αὖ τὰ* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 766 *ἀπαγγείλαντα*] *απαγγείλαντα* corr. ut vid. ex *απεγγείλαντα* *V* *ἀπαγγείλαν* est in *U* | *μή νυν*] *μὴ νῦν* codd. | *μέλλ'*] *μέλ'* *RV* ‖ v. 767 *ἄνδρες*] *ἄνδρες* codd. | *εἴσιν*] *εισιν* *R* *εἰσὶν* *VU* ‖ v. 768 *νυν*] *νῦν* codd. | *ἰοῦσ'*] *εἰσιοῦσ'* *A* | *καταχύσματα*] *τὰ καταχύσματα·* *VAU* (*καταχύσματα·* *R*) ‖ v. 769 in *νεωνήτοισιν*] *ωνή* in ras. pinxit $V^3$ *νεωνήτοις* est in *R* | *χρεών.* ]*ἐγώ.* corr. ex *ἐγὼ.* *R* *ἐγώ* est in *V* *ἐγώ.* *AU* ‖ v. 770 *ΚΑΡ.*] *οἰκ/* *R* | *ἐγὼ δ'*] *ἐγώγ* *V* (*ἐγώ δ'* ut solent, vide ad v. 740, *AU*) | *ὑπαντῆσαί*] *ἀπαντῆσαί* *R* *ἀπαντῆσαι* *VAU* ‖ (*ὄρχημα χοροῦ.*)] *κομμάτιον χοροῦ* *RV* omm. *AU* ‖ v. 771 *κ* in *προσκυνῶ*] in ras. est in *V* | *γε*] om. *U* ‖ v. 773 *τε*] *τὲ* *VA* | *πᾶσαν*] corr. ex *πάσαν* *V* ‖ v. 774 *συμφοράς,*] *συμφορὰς* *VA* *ξυμφορὰς* *U* ‖ v. 775 *οἵοις*] *οἶοις* *R* | *ἄρ'*] *ἄρ* *V* *ἆρ'* *A* | *ἀνθρώποις*] *ἀνθρωποισι* *V* ‖ v. 777 *οὐδέν·*] *οὐδὲν* *RVA* | *ὦ*] *ὁ* *AU* ‖ v. 778 *οὔτ'*] *οὐδ'* *AU* | *οὔτ' ἐκεῖν'*] *οὔτεκεῖν'* *R* | *ἄρ'*] *ἆρ'* *V* | *οὔτε*] *οὐδὲ* *AU* ‖ v. 779 *αὖ τὰ*] *αὐτα* *R* *αὐτὰ* *VAU* | *ἀναστρέψας*] *ἀνατρέψας* *V* | *ἐγὼ*] *ἐρῶ* *R* corr. in *ἐγῶ* $R^4$ ‖ v. 780 *τὸ*] *τὲ* *R* corr. $R^4$ | *τὸ λοιπὸν*] *το λοιπὸν* *A* | *ω* in *ἀνθρώποις*] in ras. pinxit

ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐπεδίδουν.
ΧΡΕ. βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ.
νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,
ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα.
ἐμὲ γάρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;
ΓΥ. ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σὺ χαίρετε.
φέρε νυν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
ταυτὶ καταχέω σου λαβοῦσα. ΠΛ. μηδαμῶς.
ἐμοῦ γὰρ εἰσιόντος εἰς τὴν οἰκίαν
πρώτιστα καὶ βλέψαντος οὐδὲν ἐκφέρειν
πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.
ΓΥ. εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα;
ΠΛ. ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος·
ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ

---

ADNOTATIO CRITICA.

v. 789 νυν H. Stephanus.

---

SCRIPTURAE DISCREPANTIA.

$R^4$ ‖ v. 781 τοῖς πονηροῖς] τοῖς ποντοῖς πονηροῖς (deleto ποντοῖς voc. ab *R* aut ab $R^2$) in *R* | ἐπεδίδουν] ἐνεδίδουν *RAU* ‖ v. 782 βάλλ'] βάλ' *U* | supra ὡς] scr. λίαν $U^2$ | χαλεπόν] corr. ex χαλεπὸν *R* χαλεπὸν est in *VU* | εἰσιν] εἰσὶν *VU* ‖ v. 783 ὅταν] ὑταν *R* ὅτ ἂν *V* | τις] τίς *RVU* ‖ v. 784 φλῶσι] inter φ et λ erasa est una littera in *V* φιλῶσι est in *U* superscr. γρ. φλῶσι $U^2$ | τἀντικνήμια] τ' ἀντικνήμια *RU* ‖ v. 785 ἐνδεικνύμενος] ἐνδεικνύμενοι *AU* | τινα] τινά *V* τινὰ *U* ‖ v. 786 προσεῖπε;] προσεῖπε corr. ex προσεῖπεν *R* ‖ v. 787 ἀγορᾷ] αγορῶι (potest esse etiam αγορᾶι, sed illud verisimilius) *V* ‖ v. 788 prius σὺ in καὶ σὺ. καὶ σὺ.] corr. ex νὺ in *A* ‖ v. 789 νυν] νῦν codd. | ἐστι] ἐστὶ *RV* ‖ v. 790 ταυτὶ] ταυτὴ *U* superscr. ταῦτα $U^2$ ‖ v. 792 πρώτιστα anteced. versui contin. *V* ‖ v. 793 πρεπῶδες anteced. versui contin. *V* | ἐστιν] ἐστὶν codd. ‖ v. 794 ΓΥ.] χο^ε/ *A* | οὐχὶ] οὐχι *R* ουχὶ *V* | δέξει] δέξηι *V* δέξη *A* | δῆτα] δὴ *V* | v. 795 ΠΛ.] om. *R* χο^ε/ est in *V* | ἔνδον] ἐνδόν *R* | παρὰ τὴν] παρατὴν *R* | ἑστίαν] ἐστίαν (superscr. ου) *R* ‖ v. 796 versui praefixit πλ/ (superscr. ου) *V* ‖ v. 797 ἐστι] ἐστὶ

ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
προβαλόντ', ἐπὶ τούτοις εἶτ' ἀναγκάζειν γελᾶν.
ΓΥ. εὖ πάνυ λέγεις· ὡς Δεξίνικός γ' οὑτοσὶ
ἀνίσταθ' ὡς ἁρπασόμενος τῶν ἰσχάδων.
(ὄρχημα χοροῦ.)
ΚΑΡ. ὡς ἡδὺ πράττειν, ὦνδρες, ἔστ' εὐδαιμόνως,
καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσιν.
[οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμα δή.]
ἡ μὲν σιπύη μεστὴ 'στι λευκῶν ἀλφίτων,
οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου.
ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
τὰ σκευάρια πλήρη 'στίν, ὥστε θαυμάσαι.
τὸ φρέαρ δ' ἐλαίου μεστόν· αἱ δὲ λήκυθοι
μύρου γέμουσι, τὸ δ' ὑπερῷον ἰσχάδων.
ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαθροὺς

---

ADNOTATIO CRITICA.

v. 801 τῶν ἰσχάδων Suidas. — v. 806 delevit Bentleius. — v. 813 σαθροὺς Kusterus.

---

SCRIPTURAE DISCREPANTIA.

codd. ‖ v. 798 ἰσχάδια] ἰσχαδα *R* | θεωμένοις] δεωμένοις *R* ‖ v. 799 προβαλόντ'] προβάλοντ' *U* | ἐπὶ τούτοις] ἐπιτούτοις *R* | εἶτ'] omm. *VAU* | ἀναγκάζειν] ἐπαναγκάζειν *AU* | γελᾶν.] γελᾶν; *V* ‖ v. 800 *ΓΥ.*] χο̣ρ/ (ε supra) *A* | πάνυ] πάνυ γε *V* | Δεξίνικός γ'] δεξίνικος γ' *R* δεξίνικος *VA* δὲ ξύνοικος *U* | οὑτοσὶ] corr. ex οὑτοσί *R* οὑτοσί est in *V* οὑτοσὶ in *U* ‖ v. 801 τῶν ἰσχάδων] τὰς ἰσχάδας codd. ‖ (ὄρχημα χοροῦ.)] omm. *RVAU* χοροῦ inseruit *R*² ‖ v. 802 *ΚΑΡ.*] κ/ (α supra) οἰκε (τ supra) *V* (Θε/ *RA* ut solent) | ὦνδρες] ὤνδρες *R* ὦ "νδρες *AU* | εὐδαιμόνως] εὐδαίμονως *U* ‖ v. 804 ἡμῖν] ἡμὶν *U* ‖ v. 805 ἠδικηκόσιν] ras. corr. ex ἠδιδικηκόσιν in *R* ‖ v. 806 versui praefixit Γὺ (i. e. γυνὴ) *U* | ἐστιν] ἐστὶν *RVU* | πρᾶγμα δή] πρᾶγμα πού *A* πρᾶγμά που *U* ‖ v. 807 μὲν] μὲν γὰρ *A* | 'στι] om. *V* ‖ v. 808 οἱ] οἳ *R* | ἀμφορῆς] ἀμφορῆις *R* ἀμφορεῖς *V* ἀμφορεῖς, *A* ἀμφιφορῆς *U* ‖ v. 808 b supra ἡμῖν] scr. ἡμῶν *U*² ‖ v. 809 σκευάρια] σκευάρ' ια *V* | πλήρη] πλήθ' *V* πλῆρ' *A* | 'στίν,] 'στιν *R* ἐστὶν *V* ἐστιν *A* | θαυμάσαι] θαυμᾶσαι *R* ‖ v. 811 ὑπερῷον] ὑπερῶον *AU* ‖ v. 813 χαλκῆ] χαλκὴ *V* | τοὺς (ante σαθροὺς)] corr. ex τοῦς

τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἶπος ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
χρυσοῖς, ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος,
ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.
*ΔΙΚ.* ἕπου μετ' ἐμοῦ παιδάριον, ἵνα πρὸς τὸν θεὸν
ἴωμεν. *ΚΑΡ.* ἔα, τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;
*ΔΙΚ.* ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
*ΚΑΡ.* δῆλον ὅτι· τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.
*ΔΙΚ.* μάλιστ'. *ΚΑΡ.* ἔπειτα τοῦ δέει; *ΔΙΚ.* πρὸς τὸν θεὸν
ἥκω· μεγάλων γάρ μοὔστιν ἀγαθῶν αἴτιος.
ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
λαβὼν ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.

---

ADNOTATIO CRITICA.

v. 815 ἶπος Bentleius ex Polluce. — v. 826 δῆλον ὅτι· Meinekius.

---

SCRIPTURAE DISCREPANTIA.

*V* | σαθροὺς] σαπροὺς *RVAU* ‖ v. 814 ἀργυροῦς] ἀργυροὺς *RU* ἀργοὺς *V* ‖ ἶπος] ιπνὸς. γέγον' *R* ἰπνὸς, γέγον' *V* ἰπνὸς *AU* ‖ v. 817 ἀποψώμεσθα] ἀποψώμεθα *U* | χρυσοῖς, ἀποψώμεσθα δ' οὐ] χρυσοῖς δ' αποψώμεσθα· οὐ *V* ‖ v. 818 σκοροδίοις] σκορόδοις *V* | ὑπὸ τρυφῆς] ὑποτρυφῆς *R* ‖ v. 819 ὁ] corr. ex ὸ *R* | μὲν] om. *R* ‖ ante v. 820 unius versus spatium relic. in *U* ‖ v. 820 καὶ (ante κριὸν)] om. *U* ‖ v. 821 καπνός.] καπνὸς *RV* | οἷός] οἶος *RVU* ‖ v. 822 ἦν.] om. *V* ‖ v. 823 *ΔΙΚ.*] ἀνὴρ δίκαιος (sed in vv. sequentibus $\overset{κ}{δι}$/ solum) *RV* om. *A* | ἕπου] corr. ex ἔπου *R* ἔπου est in *VU* | μετ' ἐμοῦ] δὲ μετ εμοῦ (ἕπου δὲ μετ ἐμοῦ l. sch.) *R* | πρὸς τὸν] προστὸν *R* ‖ v. 824 ἴωμεν.] ἔλθωμεν: *V* | *ΚΑΡ.*] $\overset{κ}{οι}$/ *R* supra versum adscr. $\overset{α}{κ}$/ *V* $\overset{ε}{χρ}$/ est in *A* | ἔσθ'] ἐσθ' *A* ‖ v. 826 *ΚΑΡ.*] $\overset{ε}{χρ}$/ *A* | δῆλον ὅτι·] δηλον ὅτι *R* δηλονότι *VU* δῆλον ὅτι *A* ‖ v. 827 μάλιστ'] μάλιστα *A* | *ΚΑΡ.*] supra versum adscr. *V* $\overset{ε}{χρ}$/ est in *A* | δέει] δέηι *V* | *ΔΙΚ.* (ante πρὸς)] omm. *RV* | θεὸν] θεόν· *R* θεὸν· *V* ‖ v. 828 versui praefigunt $\overset{κ}{δι}$/ *RV* | μοὔστιν] μόστιν *R* μοἶστιν *V* μ' οὔστιν *A* ‖ v. 829 παρὰ τοῦ] παρατοῦ *RV* ‖ v. 830 ἐπήρκουν] ἐπήιρκουν *R* ‖ v. 831 ante εἶναι]

*ΚΑΡ.* ἦ πού σε ταχέως ἐπέλιπεν τὰ χρήματα.
*ΔΙΚ.* κομιδῇ μὲν οὖν. *ΚΑΡ.* οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος.
*ΔΙΚ.* κομιδῇ μὲν οὖν. κἀγὼ μὲν ᾤμην οὓς τέως
εὐηργέτησα δεομένους ἕξειν φίλους
ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
οἱ δ' ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
*ΚΑΡ.* καὶ κατεγέλων δ', εὖ οἶδ' ὅτι. *ΔΙΚ.* κομιδῇ μὲν οὖν.
*ΚΑΡ.* αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων σ' ἀπώλεσεν.
*ΔΙΚ.* ἀλλ' οὐχὶ νῦν. ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
*ΚΑΡ.* τὸ τριβώνιον δὲ τί δύναται πρὸς τὸν θεόν,
ὃ φέρει τὸ μετὰ σοῦ παιδάριον τουτί; φράσον.
*ΔΙΚ.* καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.

ADNOTATIO CRITICA.

v. 839 Carionis notam versui praefixit et pro μ' scripsit σ' Meinekius, sed nescio an etiam alia in versu insit corruptela et pro ὢν τῶν σκευαρίων vocc. scribendum sit: οὖν τοῖς σκευαρίοις. — v. 842 πρὸς τὸν θεὸν Hemsterhusius. — v. 843 τὸ μετὰ σοῦ παιδάριον Meinekius.

SCRIPTURAE DISCREPANTIA.

una littera deleta est in *R* ‖ v. 832 *ΚΑΡ.*] χο/ *A* | πού] πον *RVU* | ἐπέλιπεν] ἐπέλειπεν *V* ἐπιλέλοιπε *U* ‖ v. 833 totum versum om. *R*; ante ἦ που in v. 832 scr. ᾱ, sed neglexit versum omissum ipsum in margine adscribere $R^3$ | vv. 833 et 834 inverso ordine leguntur, sed iustus ordo restitutus est superscriptis α et β litteris et supra v. 835 minio γ in *A* | *ΔΙΚ.*] χο/ *A* | κομιδῇ] κομιδῆ *VAU* | *ΚΑΡ.*] om. *A* | ουκ in ὀυκοῦν in ras. pinxit $V^2$ | μετὰ ταῦτ'] μεταταῦτ' *A* ‖ v. 834 κομιδῇ] (sic *R*) κομιδὴ *V* κομιδῆ *AU* | κἀγὼ] καγὼ *RVU* | ᾤμην] ὤμην *AU* | τέως] τεως *R* τότε *V* ‖ v. 835 εὐηργέτησα] ευεργέτησα *RVU* ‖ v. 836 βεβαίους] βεβαίως *A* ‖ v. 837 οἱ] οἳ *R* οἵ *VAU* | ἐξετρέποντο] εξετρέποντο· *V* | κοὐκ] κ' οὐκ *R* | μ' ὁρᾶν ἔτι tr. *U* ‖ v. 838 *ΚΑΡ.*] χο/ *A* | δ',] γ *V* γ' *A* om. *U* | εὖ] om. *V* | *ΔΙΚ.*] κ/ supra versum adscr. *V* | κομιδῇ] (sic *R*) κομιδῆ *VAU* ‖ v. 839 *ΚΑΡ.*] omm. codd. | ὢν] ὡν *R* | σ' ἀπώλεσεν] μ' ἀπόλεσεν (sed lemma scholii: αὐχμὸς γὰρ ὢν: τὸ ἑξῆς ἀπώλεσέν με) *R* μ' απώλεσεν *V* μ' ἀπώλεσεν *AU* ‖ v. 840 *ΔΙΚ.*] οἰ *R* κ/ *V* χο/ *A* om. *U* | οὐχὶ] οὐχι *R* | ἀνθ'] δι/ ἀνθ' *RVA* | ἀνθ' ὧν] ἀνθῶν *U* | ὧν] ὣν *R* ‖ v. 842 *ΚΑΡ.*] οἰ *R* χο/ *A* | τὸν θεόν,] τῶν (corr. ex τὼν) θεῶν *R* τῶν θεῶν est in *VAU* ‖ v. 843 post v. 844 legitur, sed iustus ordo restitutus est α *B* *Γ* litteris super vv. 842, 843, 844 pictis in *V* | τὸ μετὰ σοῦ] μετασοῦ τὸ *RU* μετὰ σοῦ τὸ

ΚΑΡ. μῶν ἐνεμνήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα;
ΔΙΚ. οὔκ, ἀλλ' ἐνερρίγωσ' ἔτη τριακαίδεκα.
ΚΑΡ. τὰ δ' ἐμβάδια; ΔΙΚ. καὶ ταῦτα συνεχειμάζετο.
ΚΑΡ. καὶ ταῦτ' ἀναθήσων ἔφερες οὖν; ΔΙΚ. νὴ τὸν Δία.
ΚΑΡ. χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.
ΣΥΚ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος,
καὶ τρὶς κακοδαίμων καὶ τετράκις καὶ πεντάκις
καὶ δωδεκάκις καὶ μυριάκις· ἰοὺ ἰού.
οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.
ΚΑΡ. Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ φίλοι,
τί ποτ' ἐστὶν ὅ τι πέπονθεν ἅνθρωπος κακόν;
ΣΥΚ. οὐ γὰρ σχέτλια πέπονθα νῦν τὰ χρήματα
ἀπολωλεκὼς ἅπαντα τὰκ τῆς οἰκίας
διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν

---

ADNOTATIO CRITICA.

v. 848 nescio an pro ἔφερες οὖν scribentum sit: σύ γε φέρεις (ἄραφέρεις Coletus, οὖν φέρεις Meinekius) — Chremyli personam in vv. 850—958 abesse debere demonstravit Beerius. — v. 851 τρὶς κακοδαίμων Porsonus. — v. 855 ἅνθρωπος Dindorfius. — v. 856 νῦν τὰ χρήματα Kappeynius.

---

SCRIPTURAE DISCREPANTIA.

VA | τουτί;] τοῦτὶ R τουτὶ VU τουτί· A || v. 845 ΚΑΡ.] χρ̊ε/ A | ἐνεμνήθης] ἐμνήθης V οὖν ἐμνήθης AU || v. 846 οὔκ,] οὔκ'. R | ἐνερρίγωσ'] ἐνερίγωσ' A | ἔτη] ἔτι R ἐτη corr. ut vid. ex ἐτι V || v. 847 ΚΑΡ.] χρ̊ε/ A | ἐμβάδια] mut. in ἐμβαδία in R | ΔΙΚ.] supra versum adscr., item in mediis vv. 848, 868 V || v. 848 ΚΑΡ.] χρ̊ε A || v. 849 ΚΑΡ.] χρ̊ε/ A | χαρίεντά γ'] χαρίεντα γ corr. ex χαρίεντά γ V | γ'] corr. ex δώ R | δῶρα τῷ θεῷ] τῷ θεῷ δῶρα (hoc corr. ex δώρα) R τῶ θεῶ δῶρα est in A || v. 850 ΣΥΚ.] ἄδι (κ) συκ/ (ο) R ἀνὴρ συκοφ (αντ) V συκοφαντης ἀνὴρ A | κακοδαίμων,] κακόδαιμον V | ἀπόλωλα] ὄλωλα U | δείλαιος,] δείλαος· R || v. 851 τρίς κακοδαίμων] τρισκακοδαίμων RVU τρισκακοδαίμων· A || v. 852 ἰοὺ ἰού.] καὶ ἰοὺ ἰοὺ RA καὶ ἰού· ἰού· V καὶ ἰοὺ ἰοὺ. U || v. 853 δαίμονι.] δαίμονι; V || v. 854 ΚΑΡ.] χρ̊ε/ AU | φίλοι] καὶ φίλοι VU || v. 855 versui praefixit δι̊κ/ V | ἐστὶν] ἐστίν A | ὅ τι] ὅ, τι A ὅτι (ὅπερ) U | ἅνθρωπος] ἄνθρωπος RVU ἀνθρωπος A | κακόν;] κακόν· corr. ex κακὸν· R κακόν. est in A || v. 856 ΣΥΚ.] om. A | νῦν τὰ χρήματα] νυνὶ πράγματα RVU νυνί πράγματα A || v. 857 τὰκ] τὰκ' R τὰ 'κ U || v. 858 τοῦτον,] τουτονὶ V | τυφλὸν] corr. ex τυφλόν R τυφλόν· est in V τυφλόν; A ||

πάλιν αὖθις, ἥνπερ μὴ 'λλίπωσιν αἱ δίκαι;
ΔΙΚ. ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ.
προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ,
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
ΚΑΡ. νὴ Δία, καλῶς τοίνυν ποιῶν ἀπόλλυται.
ΣΥΚ. ποῦ ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; ὁ δὲ
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
ΚΑΡ. καὶ τίνα δέδρακε δῆτα τοῦτ'; ΣΥΚ. ἐμὲ τουτονί.
ΚΑΡ. ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;
ΣΥΚ. μὰ Δί', οὐ μὲν οὖν ἔσθ' ὑγιὲς ὑμῶν οὐδὲ ἕν,
κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.

---

ADNOTATIO CRITICA.

v. 859 'λλίπωσιν Dawesius. — v. 867 coniecerim pro ἐνίους scribendum esse: εἷς μόνος (Interpretamentum esse videtur ἐνίους, cfr. scholia: τινας, ἐνίους ἡμῶν. Subintellegendum autem ex v. 864 ἡμᾶς). — v. 870 οὐδὲ ἕν Scaliger.

---

SCRIPTURAE DISCREPANTIA.

v. 859 ἥνπερ] ἦνπερ R | 'λλίπωσιν] λίπωσιν RAU λείπωσιν V ‖ v. 860 ΔΙΚ.] χϱ$^{ε}$/ AU | γιγνώσκειν] corr. ex γιγνώσκων R γινώσκειν est in U ‖ v. 861 προσέρχεται] corr. ex δι$^{κ}$/ προσέρχεται R | ἀνήρ,] ἀνήρ· corr. ex ἀνὴρ· R ἀνήρ· est in V ἀνήρ A ἀνὴρ U ‖ v. 862 ἔοικε] Θε/ ἔοικε R κ$^{α}$/ ἔοικε V δι$^{κ}$/ ἔοικε U | τοῦ πον in τοῦ πονηροῦ] in ras. est in R ‖ v. 863 ΚΑΡ.] δι$^{κ}$/ RV | Δία,] δί'· V | ποιῶν] ποῶν RV ‖ v. 864 ΣΥΚ.] ἕτερος ἄδι$^{κ}$ σὺ R | ποῦ ποῦ 'σθ'] ποῦ ποῦσθ" R ποῦ ποῦσθ V ποῦ· ποῦ 'σθ' A ποῦ που 'σθ' U | μόνος] μόνους R | ἡμᾶς] corr. ex ὑμᾶς A ‖ v. 865 ποιήσειν] ποήσειν RVA | ποήσειν οὗτος tr. R ‖ v. 866 ἐξ ἀρχῆς;] ἐξαρχῆς R ἐξ ἀρχῆς. VAU | ὁ δὲ] ὁ δε· R ὁ δέ, A ‖ v. 867 πολὺ anteced. versui contin. V | ἐστὶν] ἐστίν A | ἐστὶν ἐνίους tr. V | v. 868 ΚΑΡ.] χϱ$^{ε}$/ A | τοῦτ'] τοῦτο· R ταῦτ': V ταῦτα A τοῦτο U | τουτονί] τοῦτονί R ‖ v. 869 ΚΑΡ.] δι$^{κ}$ R χϱ$^{ε}$/ AU | ἦ] corr. ex ἡ V | post v. 869 spatium unius versus relic. in A ‖ v. 870 ΣΥΚ.] αδι$^{κ}$ R | οὐ μὲν οὖν] οὔ μεν οὖν R οὔμενουν AU | οὐδενός ὑμῶν tr. V | οὐδὲ ἕν,] οὐδ' ἑνὸς R οὐδενός V οὐδενός. A οὐδενὸς U ‖ v. 871 κοὐκ] κ' οὐκ R καὶ οὐκ U | χρήματα] πράγματα sed

*ΚΑΡ.* ὡς σοβαρός, ὦ Δάματερ, εἰσελήλυθεν
ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.
*ΣΥΚ.* σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις;
ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
εἰπεῖν ἃ πεπανούργηκας. *ΚΑΡ.* οἰμώξἄρα σύ.
*ΔΙΚ.* νὴ τὸν Δία τὸν σωτῆρα, πολλοῦ γ' ἄξιος
ἅπασι τοῖς Ἕλλησιν ὁ θεός ἐστιν, εἰ
τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
*ΣΥΚ.* οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς;
ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.
*ΔΙΚ.* οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου δραχμῆς.
*ΚΑΡ.* φάρμακα δ' ἔνεστι συκοφάντου δήγματος;

---

ADNOTATIO CRITICA.

v. 876 *οἰμώξἄρα* Dindorfius. — v. 878 *ὁ θεός ἐστιν*, scripsi pro vulg.: *ὁ θεὸς οὗτος*, Plutus enim non a sectatoribus, i. e. ab hominibus iustis, sed ab adversariis solis ipsi succensentibus vocatur: *ὁ θεὸς οὗτος*. — v. 885 *φάρμακα δ'* e coniectura quamvis incerta scripsi.

---

SCRIPTURAE DISCREPANTIA.

*πράγματα* (supra) in margine *γρ. χρήματα V χρήματα U* ‖ v. 872 *ΚΑΡ.*] *χρ/* (ε supra) *U* (hoc loco $\Theta^{\varepsilon}$/ *A* item v. 863) ‖ v. 873 *ὁ συ* anteced. versui contin. *V* | ante *δηλον* spatium reliquit *R* *δι/* (κ supra) inseruit $R^3$ *δι/* (κ supra) est in *V* *Θρ/* (ε supra) (= *θεράπων*) in *U* | *δῆλον ὅτι*] *δηλον ὅτι R δηλονότι VU* | *βουλιμιᾷ*] *βουλιμιᾶ AU* ‖ v. 874 *ΣΥΚ.*] *αδι* (κ supra) *R* | *φθάνοις;*] *φθάνοις RA φθάνοις· V φθάνοις. U* ‖ v. 875 *ἐπὶ τοῦ*] *ἐπιτοῦ R* ‖ v. 876 *πεπανούργηκας.*] *πεπανούργευκας: V* | *ΚΑΡ.*] spatium reliquit *R* *Θρ/* (ε supra) inseruit $R^3$ ($\Theta^{\varepsilon}$/ est etiam in *A*) | *οἰμώξἄρα σύ.*] *οἴμωξ' ἄρα σύ R οἴμωζ' ἄρα σύ. VAU* ‖ v. 878 *ὁ θεός ἐστιν, εἰ*] *ὁ θεὸς ἔσθ' οὑτοσὶ·* (hoc correctum ex *οὑτοσί·*) *R ὁ θεὸς ἔσθ ὅτι V ὁ θεὸς ἔσθ' οὑτοσί A ὁ θεὸς ἔσθ' οὗτος, εἰ U* ‖ v. 879 *τοὺς*] *εἰ τοὺς RA* ‖ v. 880 *ΣΥΚ.*] *αδι* (κ supra) *συ* (κ supra) *R* | *μῶν*] *μῶν' V* | *μετέχων*] *μετέχω U* | *καταγελᾷς*] *καταγελᾶς VAU* ‖ v. 881 *θοἰμάτιον*] *θοιμάτιον* codd. | *τοδί*] *τὸ δί RV* ‖ v. 882 *ἔχοντ'*] *ἔχων V* | *εἶδόν*] *ἴδον A* ‖ v. 883 *σου*] *σοῦ R* ‖ v. 884 *τονδὶ*] *τόνδε R* corr. in *τὸνδὶ* $R^2$ *τὸν δὶ* corr. ex *τὸν δί V τονδί* est in *A* *τὸν δί* in *U* | *παρ' Εὐδάμου*] *παρευδάμου R* | *δραχμῆς*] *δραγμῆς V* ‖ v. 885 *ΚΑΡ.*] $\Theta^{\varepsilon}$/ *A* om. *R* | *φάρμακα δ'*] *ἀλλ' οὐκ' R ἀλλ' οὐκ VAU* | *δήγματος;*] *δήγματος. RAU διηγήματος· V* ‖

ΣΥΚ. ἆρ' οὐχ ὕβρις ταῦτ' ἐστὶ πολλή; σκώπτετόν,
ὅ τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον.
οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
ΚΑΡ. μὰ τὸν Δί' οὔκουν τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.
ΣΥΚ. ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον.
ΚΑΡ. ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
διαρραγείης, μηδενός γ' ἐμπλήμενος.
ΣΥΚ. ἀρνεῖσθον; ἔνδον ἐστίν, ὦ μιαρωτάτω,
πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
ὖ ὗ ὖ ὗ ὖ ὗ ὖ ὗ ὖ ὗ ὖ ὗ.
ΔΙΚ. κακόδαιμον, ὀσφραίνει τι; ΚΑΡ. τοῦ ψύχους γ' ἴσως,
ἐπεὶ τοδί γ' ἀμφέξεται τὸ τριβώνιον.

---

ADNOTATIO CRITICA.

v. 887 nescio an scribendum sit: ὅ τι δ' ἐποιεῖτον ἔνδον. — v. 895 ὖ ὗ Brunckius. — v. 897 ἐπεὶ τοδί γ' ἀμφέξεται τὸ τριβώνιον Karpeynius.

---

SCRIPTURAE DISCREPANTIA.

v. 886 ΣΥΚ.] ἕτερος αδι$^{κ}$ R ἄδικος ἕτερος A | ταῦτ' ἐστὶ πολλή;] ταῦτ' ἐστὶ πολλὴ R πολλὴ ταῦτ' ἐστί; tr. A πολλὴ ταῦτ' ἐστὶ, tr. U ‖ v. 887 ποιεῖτον] ποεῖτον RAU | ἐνθάδ'] corr. ex ἔνθαδ' $R^2$ | εἰρήκατον.] ειρήκατον· V ειρήκατον U ‖ v. 888 οὐκ] οὐδ' U | ἐπ' ἀγαθῷ] ἐπαγαθῷ R | οὐδενί.] οὐδ' ἑνί. R οὐδενὶ; V οὐδενὶ U ‖ v. 889 ΚΑΡ.] δι$^{κ}$ RVU Θ$^{ε}$/ A | οὔ in οὔκουν] corr. ut vid. ex τ in V | σῷ,] σῶ AU | ἴσθ'] οἶσθ' U ‖ v. 890 ΣΥΚ.] ἄδι$^{κ}$ A | δειπνήσετον] δειπνήσατον R δειπνήσεται U ‖ v. 891 ΚΑΡ.] δι$^{κ}$ RAU | δὴ 'π' ἀληθείᾳ] δ' ἡ παληθείᾳ R δη 'παληθείᾳ V δὴ 'π' ἀληθεία A δ' ὑπ' ἀληθεία U ‖ v. 892 γ'] τ' V | ἐμπλήμενος.] sic R mut. in ἐμπλησμένος. $R^2$ aut $R^3$ εμπλησμένος· est in V ἐμπεπλησμένος· A ἐμπλήσμενος U ‖ v. 893 ΣΥΚ.] ἄδικος A ἄ$^{δο}$/ U | ἀρνεῖσθον;] ἀρνεῖσθον· R | ἐστίν,] ἐστὶν RU δ ἐστὶν V ἐστίν A | μιαρωτάτω,] μιαρωτατω V ‖ v. 894 πολὺ χρῆμα] πολυχρήμα R | τεμαχῶν] τεμμαχῶν U ‖ v. 895 versui praefixit συκο $R^3$ | ὖ ὗ ὖ ὗ ὖ ὗ ὖ ὗ ὖ ὗ ὖ ὗ.] υυ υυ υυ (parvo spatio hoc loco relicto) υυ υυ υυ R ῡῠ ῡῠ ῡῠ ῡῠ ῡῠ ῡῠ ῡῠ ῡ:~ V ῦῠ ῦῦ ῦῦ ῦῦ ῦῠ ῦῦ A ῡ̄ῡ̄· ῡ̄ῡ̄· ῡ̄ῡ̄· ῡ̄ῡ̄· ῡ̄ῡ̄· ῡ̄ῡ̄ U ‖ v. 896 ΔΙΚ.] Θ$^{ε}$/ R κ$^{α}$/ V χϱ$^{ε}$/ A | ὀσφραίνει] ὀσφραίνοι V | τι;] τί· RU τι: V τί; A | ΚΑΡ.] δι$^{κ}$ RV Θ$^{ε}$/ A | γ'] om. V ‖ v. 897 τοδί γ' ἀμφέξεται τὸ]

ΣΥΚ. ταῦτ' οὖν ἀνασχέτ' ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ' ὡς ἄχθομαι
ὅτι χρηστὸς ὢν καὶ φιλόπολις πάσχω κακῶς.
ΔΙΚ. σὺ φιλόπολις καὶ χρηστός; ΣΥΚ. ὡς οὐδείς γ' ἀνήρ.
ΔΙΚ. καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι, ΣΥΚ. τὸ τί;
ΔΙΚ. γεωργὸς εἶ; ΣΥΚ. μελαγχολᾶν μ' οὕτως οἴει;
ΔΙΚ. ἀλλ' ἔμπορος; ΣΥΚ. ναί, σκήπτομαί γ', ὅταν τύχῃ.
ΔΙΚ. τί δαί; τέχνην τιν' ἔμαθες; ΣΥΚ. οὐ μὰ τὸν Δία.
ΔΙΚ. πῶς οὖν διέζῃς ἢ πόθεν μηδὲν ποιῶν;
ΣΥΚ. τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων
καὶ τῶν ἰδίων πάντων. ΔΙΚ. σύ; τί παθών; ΣΥΚ. βούλομαι.
ΔΙΚ. πῶς οὖν ἂν εἴης χρηστός, ὦ τοιχωρύχε,

ADNOTATIO CRITICA.

v. 904 τύχῃ Hemsterhusius. — v. 908 παθών Brunckius.

SCRIPTURAE DISCREPANTIA.

τοιοῦτον γ' ἀμπέχεται RAU τοιοῦτον ἀμπέχεται V ‖ v. 898 ΣΥΚ.] ἄδι^κ A ἄ^δο/ U | ἀνασχέτ'] ἀνάσχετ' RU ἀνάσχετ V | ἐστίν,] ἐστὶν codd. | θεοί,] θεοὶ, RU θεοὶ V θεοί A ‖ v. 899 ἔμ';] ἐμ', R ἔμ' AU ‖ v. 900 ὅτι] ὀτι R ‖ v. 901 χρηστός;] corr. ex χρηστύς· in V χρηστὸς, est in U | ΣΥΚ.] om spatio relicto R inseruit $R^2$ συκ supra versum adscr., sed. ras. deletum est in V; in margine adscr. ἄδικ/ (o) $V^1$ ἄδι^κος et sic ubique in vv. proximis usque ad v. 908 incl. in A ἄ^Δ et sic ubique usque ad v. 914 incl. U | οὐδείς γ' ἀνήρ.] οὐδεὶς ἀνήρ· V οὐδεὶς ἀνὴρ U (οὐδεὶς γ' ἀνήρ. R) v. 902 ΣΥΚ.] supra versum adscr. V ‖ v. 903 γεωργὸς εἶ;] γεωργὼς οὗτος εἶ, V γεωργός εἶ; A | ΣΥΚ.] συκ. supra versum scr., sed ras. deletum est in V; in margine adscr. ἄδι^κ $V^1$ | μελαγχολᾶν] μελαγχολᾶ R | οὕτως] οὗτος VU ‖ v. 904 ἔμπορος;] ἔ'πορος lemma scholii in R ἔμπορος, VU ἔμπορός A | ΣΥΚ.] supra versum scr. V | ναί,] ναί R ναὶ VA | γ',] γὰρ V (γ' RAU)] ὅταν] ὅτ'ἂν R ὅτ ἂν V | τύχῃ.] τύχω. RV τύχω AU ‖ v. 905 δαί;] δαι R δαὶ VU δαὶ· A | τιν'] τίν' codd. | οὐ] οὖ R οὔ VAU ‖ v. 906 διέζῃς] διέξεις V | ποιῶν;] ποῶν· R ποῶν VAU ‖ v. 907 ΣΥΚ.] om. R | εἰμ'] εἶμ' codd. ‖ v. 908 ἰδίων] ἰδίων (δημοσίων supra scr.) (δημοσίων pertinere videtur ad v. 907) U | σύ;] σὺ codd. | παθών;] μαθών· RU μαθὼν· VA | ΣΥΚ.] supra versum adscr. V ‖ v. 909 χρηστός,]

εἴ σοι προσῆκον μηδὲν εἶτ' ἀπεχθάνει;
ΣΥΚ. οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν, ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;
ΔΙΚ. εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
ΣΥΚ. τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
καὶ μὴ 'πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ.
ΔΙΚ. οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
κἀρχὰς καθίστησιν; ΣΥΚ. κατηγορεῖ δὲ τίς;
ΔΙΚ. ὁ βουλόμενος. ΣΥΚ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
ΔΙΚ. νὴ Δία, πονηρόν τἄρα προστάτην ἔχει.
ἐκεῖνο δ' οὐ βούλοι' ἄν, ἡσυχίαν ἔχων
ζῆν ἀργός; ΣΥΚ. ἀλλὰ προβατίου βίον λέγεις,
εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
ΔΙΚ. οὐδ' ἂν μεταμάθοις; ΣΥΚ. οὐδ' ἂν εἰ δοίης γέ μοι
τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον.
ΚΑΡ. κατάθου ταχέως θοἰμάτιον. ΔΙΚ. οὗτος, σοὶ λέγει.

ADNOTATIO CRITICA.

v. 916 οὔκουν scholiasta. — v. 917 κἀρχὰς Herwerdenus. scholiasta ille, cuius verbasunt: ἵνα παρ' αὐτῶν βοηθοῖντο οἱ νόμοι δηλαδή. pro ἄρχειν legisse videtur: ἀρκεῖν (= βοηθεῖν apud tragicos poetas). — v. 920 τἄρα Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

χρηστὸς codd. ‖ v. 910 εἴ σοι] εἰ σοι V | μηδὲν εἶτ'] δεινὸν εἶτ' R | ἀπεχθάνει;] ἀπεχθάνῃ V ‖ v. 911 προσήκει] ἐστί μοι V, qui μοι ante πόλιν omittit ‖ v. 912 ὦ] μ' ὦ AU | καθ' ὅσον] καθόσον A (καθ ὅσον V) | ἂν] om. V ‖ v. 913 ἐστι] ἐστὶ RVU ‖ v. 914 τοῖς κειμένοις] κειμένοις. R ‖ v. 915 μὴ 'πιτρέπειν] μὴ πιτρέπειν R μη 'πιτρέχειν V | ἐάν] ἤν R | ἐξαμαρτάνῃ] ἐξ ἁμαρτάνῃ V ‖ v. 916 οὔκουν] οὐκ' οὖν R οὐκ οὖν V οὐκοῦν A ‖ v. 917 κἀρχὰς] ἄρχειν codd. | καθίστησιν;] καθίστησι· A καθίστησι, U | ΣΥΚ.] supra versum adscr. V ‖ v. 918 ΔΙΚ.] Θ$^{ε}$/ A | ΣΥΚ.] om. V | οὔκουν] οὐκ' οὖν R λοιπὸν V | ἐκεῖνός εἰμ'] ἐκεῖνός εἴμ' R ἐκεῖνος εἶμ' VAU | ἐγώ.] ἐγώ· R mut. in ἐγὼ, R$^{3}$ εγώ V ἐγὼ U ‖ v. 919 εἰς ἔμ' ἥκει] εἰσεμ' ήκει R ‖ v. 920 νὴ Δία] νὴ τὸν δία AU | τἄρα] γε ἄρα (hoc corr. ex ἆρα) R γ ἄρα V γ' ἄρα AU ‖ v. 921 δ' οὐ] γ' ου V | βούλοι'] βούλοι R | ἄν,] ἂν VAU | ἔχων] corr. ex ἔχων. R ἔχων· est in V ἔχων, U ‖ v. 922 ΣΥΚ.] supra versum adscr. V, item in v. 924 ‖ v. 923 βίῳ.] βίω V ‖ v. 925 τὸ] τοῦ U ‖ v. 926 ΚΑΡ.] Θ$^{ε}$/ RA δι$^{κ}$/ U | θοἰμάτιον] θοιμάτιον codd. |

*ΚΑΡ.* ἔπειθ' ὑπόλυσαι. *ΔΙΚ.* ταῦτα πάντα σοὶ λέγει.
*ΣΥΚ.* καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδὶ
ὁ βουλόμενος. *ΚΑΡ.* οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
*ΣΥΚ.* οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.
*ΚΑΡ.* σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
*ΣΥΚ.* ὁρᾷς ἃ ποιεῖ; ταῦτ' ἐγὼ μαρτύρομαι.
*ΔΙΚ.* ἀλλ' οἴχεται φεύγων ὃν εἶχες μάρτυρα.
*ΣΥΚ.* οἴμοι περιείλημμαι μόνος. *ΚΑΡ.* νυνὶ βοᾷς;
*ΣΥΚ.* οἴμοι μάλ' αὖθις. *ΚΑΡ.* δός σύ μοι τὸ τριβώνιον,
ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
